§ 6. *Φύσις τῆς ἀντεκτάσεως ἐν τῇ Λατινικῇ γλώσσῃ.* Καθ' ἃ ἀνωτέρω σελ. 449 εἴδομεν, ἡ ἀντέκτασις γίνεται φθίνοντος καὶ ἐξαφανιζομένου ὅλως τινὸς ἠχηροῦ καὶ διαρκοῦς φθόγγου. Ἀλλὰ παρὰ ταῦτα παρατηρεῖται, ὅτι ἐν τῇ Λατινικῇ γλώσσῃ τὸ φαινόμενον τῆς ἀντεκτάσεως ἀπαντᾷ καὶ ἐν οἷς οὐδὲν κατὰ τὸ φαινόμενον ἀπόλλυται, οἷον cōnsol, īnfelix. Τοῦτο δ' ὄντως φαίνεται παράδοξον, ἐπειδὴ ἐν τῇ πρώτῃ περιπτώσει κατὰ τὰ εἰρημένα, ὁ χρόνος ὁ ἀπαιτούμενος εἰς σχηματισμὸν φθόγγου τινὸς δύναται νὰ ἐλαττῶται κατὰ μικρὸν καὶ ἐκλίπῃ ὅλως, προληπτικῶς καταναλισκόμενος εἰς πληρεστέραν καὶ ἐκτενεστέραν προφορὰν τοῦ πρὸ αὐτοῦ φωνήεντος, ἐν δὲ τῇ δευτέρᾳ φαίνεται ἄδηλον πόθεν ἐλήφθη ὁ χρόνος, δι' ὃν τὸ βραχὺ φωνῆεν κατέστη μακρόν. Ἀλλ' ἡ ἀλήθεια εἶναι ὅτι καὶ ἐνταῦθα ἐλαττοῦται ἐν τῇ ἐκφωνήσει τὸ ἑξῆς ἡμίφωνον ἢ καὶ ἐκλείπει ὅλως, καὶ ὅτι ἀκριβῶς ὁ χρόνος ὃν ἀπόλλυσι τοῦτο, προστιθέμενος εἰς τὸν τοῦ βραχέος φωνήεντος ἐκτείνει αὐτό. Ἂν δὲ παρὰ πᾶσαν τὴν ἐλάττωσιν ταύτην, τὸ ἡμίφωνον μὴ ἐξαφανίζηται, αἰτία εἶναι ἡ ἐκ νέου σύνθεσις καὶ ἐπανόρθωσις τῶν πεπονθότων (ἰδὲ κατωτέρω σελ. 480).

§ 7. *Πόθεν ἐγένετο ἡ ἀντέκτασις ἐν τῇ Λατινικῇ γλώσσῃ.* Ἡ ἀντέκτασις ἐν τῇ Λατινικῇ γλώσσῃ ἐγένετο τὸ μὲν ἐκ τῆς ἀποβολῆς τοῦ s, ἢ μᾶλλον τοῦ ἠχηροῦ z, εἴτε μόνου εἴτε μετ' ἄλλου ἢ μετ' ἄλλων συμφώνων συμπεπλεγμένου, τὸ δὲ ἐκ τῆς συ-

στολῆς ἢ καὶ ἀποβολῆς ἐρρίνου, εἴτε μόνου εἴτε μετ' ἄλλου ἢ ἄλλων συμφώνων συνημμένου, τὸ δὲ τέλος ἐκ τῆς ἀποβολῆς ἢ συστολῆς τοῦ r. Τῶν φαινομένων δὲ τούτων ἄλλα μέν, οἷον τὰ ἀντεκταθέντα διὰ τὴν ἀπώλειαν τοῦ s, εἶναι παλαιότερα, γενόμενα πρὸ τῶν χρόνων τῆς γραμματείας, ἄλλα δέ, οἷον τὰ διὰ τὸ n ἀντεκταθέντα, ἐν μέρει μὲν ἀρχαῖα, ἐν μέρει δὲ νεώτερα, γενόμενα κατὰ τοὺς χρόνους τῆς ἀκμῆς τῶν Ῥωμαϊκῶν γραμμάτων.

§ 8. ***Ἀντέκτασις διὰ τὴν ἀπώλειαν s μόνου ἢ καὶ ἄλλων μετ' αὐτοῦ συνημμένων φθόγγων.*** Τὸ s ἢ μᾶλλον τὸ ἠχηρὸν z ἀποβάλλεται πρὸ τῶν ἠχηρῶν φθόγγων b, g, d, m, n, l, r, v, j μετ' ἀντεκτάσεως· πρβλ. πρῶτον τὰ ἀποβαλόντα ἁπλοῦν *s*, οἷον dūmus ἐκ dusmos, πρβλ. dusmo in loco παρὰ Φήστῳ, (τὸ dummetum παρ' Οὐεργιλ. διὰ διττοῦ mm ἐμφαίνει τὴν παλαιοτέραν βαθμῖδα, τὴν ἀφομοίωσιν ἐξ ἧς ἔπειτα ἡ ἀντέκτασις)· cānus ἐκ *casnos, πρβλ. Παιλιγν. casnar, καὶ cascus, pēnis ἐκ *pesnis, Ἑλλ. *πέος* ἀντὶ **πεσος* καὶ Ἰνδ. paşas, aēnos ἐξ *aes-nos (πρβλ. aer-is ἀντὶ aes-is, Ἰνδ. ayas ayas-as, Ὀμβρ. ahes-nes ἀφαιρ.), videsne, satisne - vidēn, satīn, καὶ διὰ τὸν ἰαμβικὸν ῥυθμὸν viděn, satĭn, prīmus ἐκ *prismos, Παιλιγν. prismu, cōmis ἐκ cosmis (Τόμ. Α' σελ. 111), pōno ἐκ *posno -*posino, sīdo ἐκ *sisdo - *ἵζω,* nidus ἐκ *ni-sd-os, pēdere pōdex ἐκ *pezdere, Σλαυ. pesdeti. Ἑλλ. *βδέω* ἐκ **π(ε)(σ)δεω,* īdem ἐξ isdem. egēnus ἐξ *eges-nos eges-tas, dīluo ἐκ *dis-luo, dī-ruo, dī-ripio, dī-rigo, dī-rumpo, dī-vello, dī-vergo, dīduco, dīgero, dīmitto, dīnumero, dīmico, dīripere, dījudicare. ōmen ἐξ osmen (Varro) pruīna ἐκ *prūvina ἐκ *prusvina, vēlum ἐκ *ves-lom (ves-tis).

β) Τὰ ἀποβαλόντα πλὴν τοῦ s καὶ ἄλλο τι, οἷον οὐρανικὸν c, g, gh πρὸ τοῦ s+l, πρβλ. *ax-la - āla (axilla), *paxlus - pālus (paxillus)[1]), tēla (*tex - la) καὶ tēlum (*tex-lum,

[1]) Τὰ εἰς illus-illa οἷον axilla, paxillus, maxilla, taxillus, pastillum παρὰ τὸ pānis, quāsillum παρὰ τὸ qualum, tonsillae παρὰ τὸ tōles κλπ. ἐγένοντο πρὸ τῆς ἀποβολῆς τοῦ *s* τούτου, διὸ καὶ ἔσωσαν αὐτό.

τὸ μεσάζον tellum ἐσώθη ἐν Γλωσσαρ.), subtīlis ἐκ *subtēlis ἐκ *sub-texlis, velum ἐκ *veghslom (veho), ēlīdo ἐξ *ex-laido, māla ἐκ *max-la (maxilla), tālus ἐκ *taxlus (taxillus), mūlus ἐκ *mugh-slos, πρβλ. μυχλὸς = λάγνος, ἐπιβήτωρ ὄνος· vīla ἐκ *vic-sla, ὅθεν καὶ vilicus, mantēle ἐκ *manu-tergsli (tergo) - *mantesli κττ.· ἢ τὰ ἀποβαλόντα ἔρρινον πρὸ τοῦ s+l, in s(t)locod - īlico, *hanslare - hālare (πρβλ. καὶ *an-henslo - anhēlo κατὰ τὰ εἰρημένα ἀνωτ. σελ. 103) καὶ *anslium - ālium, Σλαυ. anchati = ὄζειν, *scandsla - scāla, *tonsles - tōles, πρβλ. tonsillae, prēlum ἐκ *prem-slom, pro-tēlum ἐκ *pro-tens-lom, pīlum ἐκ *pins-lom καὶ pīla ἐκ *pinsla κττ.· ἢ οὐρανικὸν πρὸ τοῦ s+m, ἢ s+n sub-tēmen ἐκ -*tex-men, *lucsna - lusna (Πραινεστ. losna καὶ ἀρχ. Πρωσσ. lauxnos, Ζενδ. raoxsna) - lūna, *rac-sna - rāna, *lex-na - lēna (πρβλ. laxus), *sex-ni - sēni, *sexmestris - sēmestris, lāma ἐκ *lac-sma πρβλ. lacus, *ex-meritus - ēmeritus, *ex-nitor - ēnitor κττ.· ἢ ἔρρινον πρὸ τοῦ s+m ἢ s+n, *ters-mo - tēmo, trans-no - trāno, trans-meo - trāmeo, *ins-mus-īmus κλπ.· Πρβλ. ἔτι sūmo ἐκ *susmo -*subs-emo, (πρβλ. sur-emit ἀντὶ sus-emit, καὶ sus-que ἀντὶ *subs-que), καὶ sūrsum ἀπὸ *subs-vorsum, τὸ δὲ subs = Ἑλλ. *ὑψι-*, trāduco trāvehor, trājicio, ūvidus ūvesco ἐξ *uksvedus, āvello āveho, āverto κλπ. ἐξ abs-, ē-jicio, pānis ἐκ *past-nis, pōmerium ἐκ *post-moirium, ēbibo ἐξ *ex-bibo, cōnubium ἐκ *con-snubium, ēgredior ἐξ *ex-gredior κλπ.

§ 9. *Φαινόμεναι ἐξαιρέσεις τοῦ τεθέντος νόμου.* Ἐξαίρεσιν τῶν ἀνωτέρω φαίνεται ὅτι ἀποτελεῖ τὸ Cămēna ἀπὸ τοῦ Casmēna (παρὰ Οὐάρρωνι καὶ Φήστῳ), ἔτι δὲ τὸ cămillus cămilla Cămillus Cămilla, ἂν ἡ παραγωγὴ τούτων ἐκ τοῦ casmillus (Casmilla παρὰ Οὐεργιλ. Αἰν. ΙΑ' 543) ἀληθεύῃ. Ἐπειδὴ δ' ὅμως εἶναι γνωστὸν ὅτι ὅπου ἀρχαιόθεν ἦν πλὴν τοῦ s+ ἐρρίνῳ καὶ ὀδοντικὸν πρὸ τοῦ s, ἐκεῖ τὸ s διὰ τὸ ὀδοντικὸν παρέμεινεν ἄηχον καὶ διὰ τοῦτο οὐκ ἐγένετο ἀντέκτασις, ἠχά-

σθῃ ὅτι ῥίζα τοῦ casmena ἦν kad, πρβλ. *κέκασ-ται κεκαδ-μένος*, Ἰνδ. çâçadānàs çâçadùr = διαπρέπειν, καὶ δὴ ἐγένετο *Cad-smenai - *Catsmenai - Casmenae ὅθεν Camenae. Ὁμοίως ἐτυμολογεῖται τὸ camillus ἐκ cad-smillos (πρβλ. *Κάδ-μος, Καδ-μίλος)*, ὅθεν casmillos - camillos πρβλ. *pet-sna - pesna (Φήστῳ) -penna, *at-snos - annos. Γοτθ. athn. Ἡ δὲ ἁπλοποίησις τοῦ mm εἰς m ἐν τῷ Camēna, camillus παρὰ τὸ penna, annus παραβάλλεται πρὸς τὸ *mad-mā - mamma (Ἑλλ. **μαδ-jὸς - μαζός*, **μαδ-τὸς - μαστὸς* καὶ **μαδ-θὸς - μασθός)*, ἀλλὰ mamilla, ob-mitto - *ommitto - ŏmitto, offa - ofella κλπ.

§ 10. *Ἀντέκτασις διὰ τὴν ἀπώλειαν τοῦ* n. Τὸ n ἀπεβλήθη ἐν χρόνοις ἀρχαιοτέροις τῆς Ῥωμαϊκῆς γραμματείας ἐπὶ τῆς αἰτ. πληθ. τῶν ὀνομάτων, ἐντεῦθεν terrās, limōs, ignīs, ovīs, pedēs, portūs κλπ. ἀντὶ *terrans, *limons, *ignins, *pedens ἀντὶ *pedns, *portuns κλπ. Ὁμοίως ἀπώλετο πάλαι πρὸ τοῦ -gn, -cn, -sn κατὰ ἀνωτ. σ. 444 εἰρημένα· πρβλ. īgnis ἀντὶ *engnis, Ἰνδ. agnis ἀπὸ *ngnis, co(n)gnosco, cognomen. cōniveo ἐκ *concniveo, *concnitor-conītor, *concnecto-cōnecto (πρβλ. gnitor gnixus παρὰ Παύλῳ Φήστῳ), quīni ἐκ *quinc-ni, cognatus, ignosco ignominia ignarus, cōnubium ἀντὶ *con-snubium ἀρχ. Σλ. snubiti, ὁμοίως ἐπὶ τῆς ὀνομ. sanguis ἀντὶ *sanguins (πρβλ. δελφίς, ἀκτίς, ῥὶς ἀντὶ δελφὶνς κλπ.).

§ 11. *Ἀντέκτασις διὰ τὴν συστολὴν τοῦ* n. Καθ' ἃ ἐν Τόμ. Α' σελ. 114 ἐλέχθη, ἤδη ὁ Κικέρων παρατηρεῖ ὅτι τὸ consol, conficere, insanus, inferos κλπ. ἐξεφωνοῦντο μετὰ μακροῦ φωνήεντος ō, ī πρὸ τοῦ n τοῦ con καὶ in. Ἀλλὰ καθολικῶς δύναται νὰ λεχθῇ ὅτι ἐκτείνεται τὸ φωνῆεν, ἐὰν μετ' αὐτὸ ἕπηται n +s, ἢ +f, εἴτε ἐν ἀρχῇ εἴτε ἐν μέσῳ εἴτε ἐν τέλει τῆς λέξεως. πρβλ. mōns, fōns, frōns, crescēns *Κρήσκη(ν)ς*, prudēns *Προύδη(ν)ς*, sapiēns *σαπίηνς*, clemēns *Κλήμης*, cōnstāns *Κωνσταντῖνος*, cōnsul *κώνσουλ κωνσίλιον*, vēnsica, famōnsus *φάμωσσα*, Megalēn-

sia, Hortēnsius, forēnsis, potēns-*πότηνς*, Agrippinēnsis *Ἀγριππινῆνσις, Τατιῆνσις, Λουκερῆνσις*, īnsanire, īnfra, īnferi κλπ.

Ἡ ἔκτασις δ'αὕτη τοῦ φωνήεντος πρὸ τοῦ -ns, -nf ἑρμηνεύεται φυσιολογικῶς ὧδε: Γνωστὸν ὅτι τὰ σύμφωνα n, s, f εἶναι συγγενῆ, μάλιστα τὸ s καὶ n, ἅτε διὰ τῶν αὐτῶν σχεδὸν φωνητικῶν ὀργάνων σχηματιζόμενα (πρβλ. Τόμ. Α' σελ. 141), εἶναι δὲ γνωστὸν ἐξ ὧν εἴπομεν ἐν Τόμ. Α' σελ. 146-7, ὅτι ὅταν ἔχωμεν ν' ἀπαγγείλωμεν ἀλλεπαλλήλως δύο ὁμοίους φθόγγους, τότε ἀντὶ τῶν ἀπαιτουμένων δύο ὁμοίων κινήσεων τῶν φωνητικῶν ὀργάνων, ἀρκούμεθα πολλάκις χάριν εὐκολίας ἐν τῇ μιᾷ. Οὕτως ἡ ἄρθρωσις τοῦ n ἀπαιτεῖ τὴν πρόσαψιν τῆς γλώσσης εἰς τὰ φατνία, ἡ δὲ τοῦ s τὴν βραχεῖαν ἀπομάκρυνσιν ἀπ' αὐτῶν· ἀπὸ τῆς ἀρθρώσεως ἄρα τοῦ προηγουμένου φωνήεντος ἡ γλῶσσα τὴν ἑτέραν μόνον τῶν ἀπαιτουμένων κινήσεων ἐκτελοῦσα φέρεται ἀμέσως ἐπὶ τὴν ἄρθρωσιν τοῦ s. Ἡ δὲ παράλειψις τῆς πρσσάψεως αὐτῆς εἰς τὰ φατνία καὶ δὴ ἡ μὴ ἔμφραξις τοῦ στόματος ἐπιτρέπουσιν εἰς τὸ προηγούμενον φωνῆεν νὰ ἀπαγγελθῇ καὶ σαφέστερον καὶ διαρκέστερον, ἤτοι νὰ ἐκταθῇ. Ὁμοίως πως ἔχει καὶ τὸ nf.

Εἶναι δ' ἄξιον σημειώσεως ὅτι πολλὰ τούτων ἐμφανίζουσι σάλον ἐν ταῖς ἐπιγραφαῖς, οἷον consol καὶ cosol, censor καὶ cesor, foresis, atresis = atriensis, castresis *Καστρησία*, trasitus, pesa, impesa, conpresa καὶ conprenso, consesu καὶ cosensu, mesa, meses καὶ messes, mesor, mostrat, sposus, traslatus, masuetae, cesuere, coservet, constas, infas, vives, clies, innoces, bibes, iferos, ifer, ifra, iventa κλπ., καὶ ἐν τοῖς ἀντιγράφοις πάμπολλα, οἷον vessīca, cojux, coiicere, coiiectura, novies, quoties κλ. Ὑπῆρχον μάλιστα οἱ διδάσκοντες ὅτι λεκτέον milies, centies, decies, ἀλλὰ totiens, quotiens, ὁ δὲ Μάριος Οὐικτωρῖνος συνιστᾷ τοὺς εἰς -ōsus τύπους, ἀποβάλλει δὲ τοὺς εἰς -onsus, ἐξ ὧν πάντων δηλοῦται ὅτι ἐπεκράτει σάλος.

Ἀλλὰ διατί ὁ σάλος οὗτος; Πρὸς τοῦτο λέγομεν ὅτι ὁμαλὸν

καὶ ἐπὶ τούτων ἦν ἡ μεγάλη συστολὴ καὶ ἀποβολὴ τοῦ n πρὸ τοῦ s, ὅπως καὶ ἐν τοῖς κατειλεγμένοις ἐν § 10, καὶ τοῦτο ἀληθῶς ἐγίνετο ἐν τῷ συνήθει λόγῳ καὶ κατ' αὐτοὺς τοὺς δοκίμους χρόνους, διὸ καὶ κατὰ τὴν μαρτυρίαν Οὐηλ. Λόγγου ὁ Κικέρων ἔλεγε foresia hortesia Megalesia. Πάντως ἡ ἀτελὴς ἐν τῷ συμπλέγματι ns προφορὰ τοῦ n καὶ ἡ μετ' αὐτοῦ συνημμένη μακρότης τοῦ πρὸ αὐτοῦ φωνήεντος ἐγένετο αἰτία τῆς ἀναπτύξεως τοῦ n ἐν τῷ thensaurus, Chersonensus, Scaptensula, Onensimus, (Atlans καὶ Athamans παρετυμολογίᾳ). Ἡ δὲ τοῦ n διατήρησις αἰτίαν ἔχει α' μὲν τοῦτο ὅτι ἐπηνωρθοῦτο ἐκ τῶν ἄλλων πτώσεων, οἷον montis monti montem, habentis, ὅθεν καὶ mons, habens κλπ., ἢ ἐξ ἄλλων τύπων οἷον defendo defendis κττ., ὅθεν καὶ defensor defenstrix, scando, ὅθεν καὶ scansum, pendo ὅθεν καὶ pensum κλπ., ἢ ἐξ ἄλλων συνθέτων, οἷον conduco, indico ὅθεν καὶ consumo, consero, confero, insero, infero κλπ. Ἐτελεῖτο ἄρα ἐπὶ τούτων διαρκῶς σύνθεσις ἐκ νέου, καὶ τὰ συστατικὰ τῆς συνθέσεως ἦσαν αἰσθητὰ καὶ οὐ συνεδέοντο οὕτω στενῶς, ὅπως ἐντὸς λέξεως. Ἐντεῦθεν ἐν ταῖς Ῥωμανικαῖς γλώσσαις ἄλλως διατίθεται τὸ ns ἐν τοῖς μετὰ τῶν προθέσεων συνθέτοις καὶ ἄλλως ἐντὸς λέξεως, πρβλ. mese, formoso ἀλλὰ enfant, ensemble, insegna κλπ. Ὁμοίως φαίνεται εἰσελθὸν τὸ ἔρρινον ἀπὸ τῶν ἀπολύτων εἰς τὰ τακτικὰ εἰς -censimus-censumus παρὰ τὰ εἰς -cesimus-cesumus, οἷον *vicenti - vicensumus καὶ vicesumus, triginta tricensumus καὶ tricesumus, quadraginta - quadragesimus καὶ quadragensimus quinquagesimus, sexagesimus κλπ. παρ' ὧν καὶ τὸ g ἐλήφθη.

Ἔπειτα, ἐπειδὴ καὶ ἐν λέξεσιν ἢ τύποις μεμονωμένοις ἀπαντᾷ τὸ n πρὸ τοῦ s, οἷον ἐν τοῖς εἰς -ensis - onsus, ἀνάγκη νὰ ὑπολάβωμεν ὅτι τὸ n τοῦτο ἐξεφωνεῖτο εἰ καὶ ἀσθενῶς ἐπὶ μακρὸν χρόνον καὶ δὴ καὶ ὅτε οἱ Ῥωμαῖοι ἤρξαντο νὰ ἐπιμελῶνται τῆς ὀρθογραφίας, διὸ καὶ ἐκρίθη ἀναγκαία ἡ δήλωσις αὐτοῦ. Βραδύτερον δὲ παρεσιωπήθη καὶ ἐπὶ Κικέρωνος, καθ' ἃ εἴδομεν, δὲν ἠκούετο ἐν τῷ συνήθει λόγῳ, ἀλλ' ἐν τῇ γραφομένῃ διετηρεῖτο ὁπωσδήποτε.

Ἐν τοῖς ἀριθμητικοῖς ἐπιρρήμασιν εἰς -iens - iēs οἷον sexiēns, quinquiēns, septiēns, octiēns, noviēns, deciēns, viciēns, triciēns, quadragiēns, quotiens, totiens κλπ. φαίνεται ὅτι σῴζεται τὸ n πρὸ τοῦ -s ἐν τέλει λέξεως, εἰ καὶ ἄλλοι τύποι ἔχοντες τὸ n δὲν ὑπάρχουσι, καὶ δὴ ταῦτα ἔδει νὰ κανονισθῶσιν ὁμοίως ταῖς αἰτιατικαῖς πληθυντικαῖς. Ἀλλὰ τὸ παράδοξον τοῦτο ἑρμηνεύεται διὰ τῆς παρατηρήσεως, ὅτι ἐν τούτοις δὲν ἦτο τὸ -ns ἐξ ἀρχῆς τελικόν, ὅπως ἐν ταῖς αἰτιατικαῖς πληθυντικαῖς, ἀλλ' ὅπως ἐκ τῆς τῶν Ἰνδῶν γλώσσης διδασκόμεθα, τὸ -ṇt· πρβλ. Ἰνδ. kíyat = ὀλίγον, íyat = τοσοῦτον. Ἐλέγετο ἄρα ἀρχαιόθεν ἐν τῇ Ἰταλικῇ γλώσσῃ *sex-i̯ṇt ὅθεν *sexient - sexiens τοῦ τελικοῦ -t εἰς -s τραπέντος, ὅπως καὶ ἐν τῷ οὐδετέρῳ ferens, habens κλπ.

Ὅπως ἐν τοῖς εἰρημένοις οὕτω καὶ ἐν ἄλλοις ἡ συστολὴ τοῦ n ἐπήνεγκε τὴν ἔκτασιν τοῦ προηγουμένου φωνήεντος. Οὕτως εἴδομεν ἀνωτ. σελ. 443, ὅτι ἐξετείνετο τὸ βραχὺ φωνῆεν πρὸ τῶν συμπλεγμάτων n+ct, n+cs, οἷον ūnctus, ūnctito, sānctus, quīnctus (Κόειντος) Quīntilius, quīncti, quīn(c)decim, jūnxit, jūnctus, defūnctis κττ.· ἀληθῶς ἐξεφωνεῖτο jūₙxi, jūₙctus quīₙctus κλπ.

Ὁμοίως ἐκτείνεται τὸ φωνῆεν καὶ πρὸ τοῦ συμπλέγματος n+qu̯, οἷον propīnquos, ἔτι δὲ ἐν τῷ anti(n)quos, obli(n)quos, ἐν οἷς ἀληθῶς καὶ συνεστάλη μέχρις ἐξαφανίσεως, ὅπως καὶ πρὸ τοῦ -gn, -cn, īgnis, quīni. Γίνεται ἄρα ἀντέκτασις διὰ τὸ n, ὅπου n+s, cōnsul, ovis, pontes, sanguīs, aliōs, *pedn̥s-ēs, n+f, īferos cōfero, n+cn, quīni, cōn(cn)īveo, conītor, nc + συμφ., quīnctus, Κόειντος, ūnctus, sanctus, defūnctus, n+gn, ignarus, īgnotus, īgnominia, īgnis, īgnōscere, n+sn, cōnubium.

§ 12. *Ἀντέκτασις δι' ἀπώλειαν ἢ συστολὴν τοῦ r.* Πολλάκις τὸ r καὶ πρὸ ἄλλων φθόγγων καὶ μάλιστα πρὸ τοῦ διττοῦ ss συνεστέλλετο ἐν τῇ προφορᾷ. Ἐντεῦθεν ἐνιαχοῦ ἐξεβλήθη ὅλως καὶ ἐκ τῆς γραφῆς, ἐν τοῖς πολλοῖς δ' ὅμως γράφεται· πρβλ. sordes, Γοτθ. swarts καὶ *suard-tom -*suarssum-suāsum=κηλίς·

*dort- som -*dorssom - dorsum, ἀλλὰ dossuarius dossum παρὰ Οὐάρρωνι. Οὕτω παραδίδονται μετὰ μακροῦ φωνήεντος quārtus, fōrmas fīrmus, ōrnamentum, ōrno ōrdo (ἀλλ' Ἑλληνιστὶ μετεγράφετο *ὀρδινάριος* καὶ *ἐξτραορδινάριος*), ōrcus, fōrtunatus, libērtus κτλ. Φαίνεται ἄρα ὅτι, ὅπως ἀνωτ. σ. 480 τὸ n πρὸ τοῦ s, οὕτω καὶ τὸ r πρὸ τοῦ s ἐξεφωνεῖτο σφόδρα ἀσθενῶς, τοῦτο δὲ συνεπήγετο ἔκτασιν τοῦ πρὸ τοῦ r φωνήεντος καὶ τοῦ s, ἤτοι prōrsum, rurrsum, dorsum κλπ., ἢ dōssum, prōssum κλπ., καὶ ἐν μὲν τοῖς παλαιοτέροις χρόνοις ὅτε μικρὸν καθόλου ἐφρόντιζον περὶ τῆς ἀκριβοῦς παραστάσεως τῶν ἀκουομένων φθόγγων, ἐκφωνούμενον ἀσθενέστερον παρελείπετο πολλάκις ἐν τῇ γραφῇ τὸ r, διὸ suāsum, ὃ μόνον παρὰ Πλαύτῳ, ἐν τοῖς μετέπειτα δὲ καίπερ ὁμοίως ἐκφωνούμενον ἐγράφετο τὸ r, ἡ δὲ ἔκτασις παρελείφθη. (Ὅτι τὸ lanterna ἐκ τοῦ *λαμπτῆρα* ἐγένετο κατ' ἀντέκτασιν lāterna, εἶναι παντάπασιν ἀπίθανον. Ἡ λέξις ὡς ξένη ὑπέκειτο εὐκόλως τῇ παρετυμολογίᾳ, ἐντεῦθεν παρητυμολογήθη ὡς πρὸς τὴν λήγουσαν κατὰ τὸ luc-erna, πιθανῶς δὲ καὶ κατὰ τὴν ἀρχὴν κατ' ἄλλην τινὰ Λατ. λέξιν· σημειωτέον δὲ ὅτι, ἐπειδὴ τὰ ἄριστα ἀντίγραφα ἔχουσι lanterna, οὐδεὶς δύναται νὰ γινώσκῃ, ἂν ἀληθῶς ποτε ἐλέχθη ἄνευ τοῦ n μετὰ μακροῦ a ἐν τῇ ἀρχούσῃ συλλαβῇ).

§ 13. *Φαινομένη ἀντέκτασις διὰ τὴν ἀπώλειαν τοῦ h, bh, gh.* Ἄλλοτε ἐδιδάσκετο ὅτι διὰ τὴν ἀπώλειαν τοῦ h ἐπεγίνετο ἀντέκτασις, ὃ φαίνεται ἀντιβαῖνον πρὸς τὰ εἰρημένα ἐν σελ. 449 καὶ 481, ὅτι διαρκὴς καὶ ἠχηρὸς φθόγγος ἀνάγκη νὰ ἐξαφανίζηται, ἵνα γίνηται ἀντέκτασις· ἀλλ' ἐπειδὴ παρετηρήθη ὅτι τὸ g καὶ τὸ d ἀφομοιοῦται ἑπομένῳ i̯, οὕτω δὲ ἁπλοποιουμένων τῶν δύο ii παράγεται δίφθογγος, πρβλ. sĕges ὅθεν *seg-i̯a - seiia Seia, radius - *radi̯a - raiia, *ped-i̯or (ἐκ ῥίζης ped, πρβλ. Ἰνδ. pad-yatē = πίπτει, ἀπόλλυται) -peiior, *trog-i̯a - troiia κλπ., διὰ τοῦτο ᾐκάσθη ὅτι καὶ ἐν τῷ aiio, maiior τὸ ῥιζικὸν σύμφωνον ἦν g (πρβλ. ad-agium) καὶ δὴ ὅτι οὐδεμία κατ' ἀλήθειαν ἐγένετο ἀντέκτασις (pĕior μετὰ βραχέος e ἀπαιτοῦσι καὶ αἱ Ῥωμανικαὶ γλῶσσαι),

ἀλλ' ὅτι τοῦ συμφώνου ἀφομοιωθέντος τῷ ἑξῆς ἰ ἐγένετο aiio, maiior, ἤτοι παρήχθη δίφθογγος. Περὶ τούτων ἰδὲ τὸ Περὶ τῶν ἡμιφώνων κεφάλαιον.

Ἀντεκτασιν παραδέχονταί τινες καὶ ἐν ὀλίγαις λέξεσιν, ἐξ ὧν κατὰ τὴν παραδεδεγμένην ἐτυμολογίαν ἐξεβλήθη Ἰαπετικὸν δασὺ bh, gh (Ἰταλ. χ), οἷον glūma παρὰ τὸ glūbo γλύφω, cacūmen ἀπὸ *cacubhmen Ἰνδ. kakŭbh = κορυφή, trāma ἀπὸ *traχma, trăho. Ἀλλ' ἐπειδὴ τὸ u εἶναι μακρὸν καὶ ἐν τῷ glubo, οὐδὲν ἀναγκάζει νὰ ὁμολογήσωμεν ὅτι ἐξετάθη κατ' ἀντέκτασιν ἐν τῷ gluma, διότι ἠδύνατο νὰ ἔχῃ αὐτὸ ἀρχαιόθεν ἐκ τοῦ ou ὅπως τὸ ῥῆμα ἐκ τοῦ eu, πρβλ. *ἀλείφω ἀλοιμμός, εἶμι - οἶμος οἴμη* κτλ. Τόμ. Α' σελ. 245. Ὁμοίως κεῖται τὸ ὄνομα trāgula μετὰ μακροῦ a, δῆλον ἄρα ὅτι ἐξ ἀρχαίου *trāga ἠδύνατο νὰ σχηματισθῇ τὸ *trāg-ma-trāma. Οὐδεμία ἄρα ἀνάγκη νὰ ὁμολογήσωμεν ἀντέκτασιν τοιαύτην ἀντιβαίνουσαν φυσιολογικῶς εἰς αὐτὴν τὴν φύσιν τοῦ φαινομένου τούτου.

§ 14. *Φαινομένη ἀντέκτασις δι' ἀπώλειαν* v. Καθ' ὃν τρόπον εἴδομεν ἀνωτέρω, ὅτι ἐκ τῆς ἁπλοποιήσεως τῶν δύο ii τῶν ἐξ ἀφομοιώσεως προελθόντων, οἷον *agio - aiio, *pedior - peiior κλπ. προέκυπτε δίφθογγος ai, οὕτω καὶ τοῦ uu, ἐν οἷς ἐκ συγκοπῆς φωνήεντός τινος προῆλθεν, τὸ ἕτερον u συνήφθη μετὰ τοῦ προηγουμένου φωνήεντος εἰς δίφθογγον, διὸ *moui-uai, *caui-uai, *noui-uai,*faui-uai κλπ., ὅθεν mouuī, cauuī, nouuī, fauuī, lauuī, juuuī κλπ., ἀνθ' ὧν γράφεται movi cavi κλπ. μετὰ μακροῦ τοῦ ῥιζικοῦ φωνήεντος, εἰ καὶ κατ' ἀλήθειαν ἄγνωστον ἂν ὄντως ἐξετείνετο καὶ μὴ μᾶλλον ἐσυλλαβίζετο cou/ui mou/ui κλπ.· πρβλ. τὰ τῆς Ἑλληνικῆς *Δαμμάτηρ, ναῦλλον, εἰσσαγωγήν, ξυννόντι, ἀνταποδιδῶσσα* κτλ., περὶ ὧν ἔσται ὁ λόγος ἐν τῷ Περὶ συλλαβισμοῦ. Ὁμοίως ἐγένετο τὸ *magevolo-*magvolo-*mauuolo - măuolo, ὅθεν mālo κατὰ συναίρεσιν, ἰδὲ ἀνωτ. σελ. 369.

§ 15. *Ἀντέκτασις ἐν τῇ Ἰνδικῇ γλώσσῃ.* Τὸ φαινόμενον τῆς ἀντεκτάσεως ἀπαντᾷ καὶ ἐν τῇ Ἰνδικῇ γλώσσῃ, ἀλλὰ μόνον διὰ

τὴν ἀποβολὴν τοῦ s ἢ μᾶλλον τοῦ z· πρβλ. nīdas = nīdus, Ἀρμεν. nist καὶ ἀρχ. Γερμ. nest, sīdati sīdo *ἵζω*, ἐκ *sizdati, hēdas = ὀργή. Γερμ. geist, ēdhi (Ζενδ. zdī) ἀπὸ es-dhi *ἴσθι*, mīdhás καὶ Ἑλλ. *μισθός*, vahati = vehere καὶ παθητ. μετοχὴ ūdhá ἤτοι *uzh-ta κλπ.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

ΠΕΡΙ ΕΠΕΝΘΕΣΕΩΣ

§ 1. *Τί ἐστιν ἐπένθεσις καὶ πῶς πρέπει νὰ νοηθῇ.* Ἐπένθεσιν λέγομεν τὸ φαινόμενον, καθ' ὃ τὸ ἡμίφωνον ἰ (οὐχὶ τὸ τέλειον φωνῆεν *i*) φαίνεται μεταπηδῆσαν ἀπὸ τῆς θέσεως αὐτοῦ εἰς τὴν ἀμέσως προηγουμένην συλλαβήν, ἔνθα συναλείφεται μετὰ τοῦ ἐν αὐτῇ φωνήεντος. Φαίνεται ὅτι συναπτόμενον στενῶς καὶ ὡς εἰπεῖν συγχωνευόμενον τὸ ἰ μετὰ τοῦ προηγουμένου συμφώνου ἐν τοῖς παλαιοῖς χρόνοις τοῖς πρὸ τοῦ χωρισμοῦ τῆς Ἑλληνικῆς γλώσσης εἰς διαλέκτους μετέβαλλε τὴν φύσιν αὐτοῦ, (ὅπως βλέπομεν ἐν τῇ καθ' ἡμᾶς Ἑλληνικῇ, ὅταν μετὰ τὸ *λ, ν, ρ* ἕπηται ἰ συνενούμενον αὐτοῖς, οἷον *καλλιά, ἐννιά, μεριὰ* κλπ., καὶ ὅπως κατὰ τοὺς χρόνους ἐκείνους συνεδέθη καὶ συνεχωνεύθη καὶ μετὰ τῶν ἄλλων συμφώνων, οἷον **ἁρπαγ-ἰω - ἁρπάζω, *πρακ-ἰω-πράσσω, φθεριω - φθέρρω - φθήρω - φθείρω* κλπ.)· κατὰ μικρὸν δ' ὅμως τὸ μὲν ἡμίφωνον ἰ ἀπὸ τῆς μετὰ τὸ σύμφωνον θέσεως αὐτοῦ μετετέθη ἀμέσως πρὸ αὐτοῦ, τ. ἔ. προληπτικῶς ἐσχηματίσθη ἡ πρὸς σχηματισμὸν τοῦ ἡμιφώνου ἀναγκαία ἄρθρωσις πρὸ τοῦ συμφώνου· οὕτω δὲ ἐκφωνηθὲν αὐτόθι ἐγγὺς φωνήεντος τὸ ἡμίφωνον τοῦτο

συνηλείφθη μετ' αὐτοῦ, τὸ δὲ σύμφωνον ἐκλιπόντος τοῦ μετ' αὐτὸ ἡμιφώνου ἐπανῆλθεν αὖθις εἰς τὴν πρώτην αὐτοῦ φύσιν. Τὸ φαινόμενον δύναταί τις νὰ νοήσῃ, ἂν ἐκφωνήσῃ προσηκόντως τὰς σειρὰς τάσδε : **φάνι̯ω* (ὅπως *'Αννι̯ὼ*) καὶ *φάι̯νω* (ὅπως *Χάϊδω*), **μόρι̯α* (ὅπως *ἀρι̯ὰ*) καὶ *μόι̯ρα* (ὅπως *βόηϑα, κορόι̯δο*) κλπ. Τὸ φαινόμενον τοῦτο εἶναι σήμερον σύνηθες ἐν Μάνῃ ἐν τῷ δήμῳ Λαγείας, ἔνθα λέγεται *Μαϊρά, μαστοϊρά, μαγεϊρά, μαϊτά, νοϊτά, χωι̯ρά, χωι̯ρό, νταϊλάνι, λαϊδά* κλπ. (πρβλ. Γλωσσολογ. Μελε- Τόμ. Α' σελ. 227).

§ 2. *Ὅροι τῆς ἐπενθέσεως.* Εἴδομεν ὅτι τὸ ἐπεντιθέμενον ὀφείλει νὰ εἶναι ἡμίφωνον *i̯*, οὐχὶ δὲ φωνῆεν τέλειον *ι*, δῆλον ἄρα ὅτι ἡ ἐπένθεσις ἐγένετο ἐν χρόνοις παλαιοτάτοις, ὅτε ἐσῴζετο ἔτι τὸ ἡμίφωνον *i̯* 'Εντεῦθεν λέγεται **μακαρι̯α-μάκαιρα*, ἀλλὰ *μακάριος μακαρία*, **κονι̯ος-κοινός*, ἀλλὰ *φόνιος* κλπ. Διὰ τοῦτο δὲν γίνεται ἐπένθεσις, ἂν μὴ μετὰ τὸ *ι* ἕπηται ἄλλο φωνῆεν, φορεὺς τῆς συλλαβῆς, ὥστε νὰ δύνηται τὸ *i̯* νὰ μένῃ ἡμίφωνον. Οὗτος ἄρα εἶναι ὁ πρῶτος ὅρος τοῦ φαινομένου.

β) ὅρος αὐτοῦ εἶναι ὅτι τὸ πρὸ τοῦ ἡμιφώνου *i̯* σύμφωνον δὲν δύναται νὰ εἶναι οἱονδήποτε, ἀλλὰ μόνον τὸ *ϱ*, τὸ *ν*, τὸ *μ*, τὸ F, ἴσως καὶ τὸ ς, οὐχὶ δὲ τὰ κλειστὰ σύμφωνα· πᾶσαι ἄρα αἱ ἐτυμολογίαι ὅσαι ἄλλοτε προεφέροντο καὶ ἐστηρίζοντο ἐπὶ ἐπενθέσεως παρὰ τὰ ἄφωνα εἶναι πλημμελεῖς. Πρβλ. **χάρι̯ω-χαΐρω*, **μανι̯ομαι-μαΐνομαι*, avi-s **αFι̯ετὸς-αἰFετός*, **ευρεFι̯α-εὔρεῖα*, **λελυκυσι̯α-*λελυκυῖσα-λελυκυῖα*, com *κομι̯ὸς-κοινός*, *χλαμὺς *χλαμι̯α-χλαῖνα* κλπ.

γ) Τὰ πρὸ τοῦ ἡμιφώνου φωνήεντα, μεθ' ὧν συνάπτεται τὸ μεταπηδῆσαν ἡμίφωνον, δὲν δύνανται νὰ εἶναι μακρά, ἀλλὰ μόνον βραχέα (πρβλ. 'Αθηνᾶς Τόμ. Η' σελ. 470). δ) Δὲν γίνεται ἐπένθεσις, ἂν τὸ πρὸ τοῦ *ϱ* καὶ τοῦ *ν* φωνῆεν εἶναι *ε* ἢ *ι* ἢ *υ*, ἀλλὰ μόνον ἂν *α* ἢ *ο*, διὸ λέγεται μὲν καὶ ὑπὸ τῶν Αἰολέων *χαίρω μοῖρα, ἑταίρα, μέλαινα, μαινόλᾳ, κοῖνος* κλπ., οὐχὶ *χάρρω, μόρρα, μαννόλᾳ, κόννος*, ἀλλ' *οἰκτίρρω, ὀδύρρομαι, ὀλο-*

φύρρομαι, ἀέρρω, ἀγέρρω, κτέννω, κλίννω κλπ. Δῆλον ἄρα ὅτι ἐν μὲν τοῖς πρώτοις ἐγένετο ἐπένθεσις, ἐν δὲ τοῖς δευτέροις ἀφομοίωσις, καὶ ἔπειτα ἀντέκτασις ἐν ταῖς λοιπαῖς διαλέκτοις.

Οὕτως ἑρμηνεύονται τὰ ῥήματα *γαίω, δαίω, καίω, κλαίω* δι' ἐπενθέσεως παρὰ τὸ F ἤτοι ἐκ **γαF-ἰω* (πρβλ. gau-deo ἀντὶ *gavideo), **δαF-ἰω* (πρβλ. *δαυλός, δεδαυ-μένον*), **καF-ἰω* (*καύσω*), **κλαF-ἰω* (*κλαύσομαι*), **γραF-ἰα* (*γραῦ-ς*)-**γραιFα - γραῖα*, **ΠοτειδαFἰα - Ποτείδαια· -βοιος* (*ἐννεάβοιος ἑκατόμβοιος*) ἀντὶ -**βοF-ἰος, *ΕυβοF-ἰα, *ΠεριβοF-ἰα-Εὔβοια, Περίβοια, *ευνοF-ἰα-*ευνοιFα - εὔνοια, * ευπλοF-ἰα - * ευπλοιFα - εὔπλοια, ἀμοF-ἰὰν - ἀμοιFὰν* ἐν ἐπιγρ. Κορίνθου (πρβλ. *ἀμεύ-σασθαι·* ἀμείβεσθαι, διελθεῖν, περαιώσασθαι, *ἀμευσι-επής·* διαλλάσσουσα καὶ ἀμειβομένη τοῖς λόγοις), *διάμοιος*, ὁ ἀντ' ἄλλου διακονῶν ἐκ **διαμοF-ἰος, *αFι-ετος - αἰFετός*, πρβλ. *αἰβετός·* ἀετὸς Περγαῖοι· καὶ **αFἰ-ωνὸς -*αιFωνὸς* ἀφομοιώσει **οἰFωνὸς - οἰωνός*. Οἱ τοῦ θηλυκοῦ τύποι εἰς *-εῖα* τῶν εἰς *-υς* ἐπιθέτων, οἷον *εὐρεῖα, γλυκεῖα, ἡδεῖα, ὠκεῖα* κλπ. προῆλθον ὡσαύτως κατ' ἐπένθεσιν ἐκ παλαιοτέρων **ευρεFἰα, *ἁδεFἰα* κλπ., πρβλ. Ἰνδ. urvī, svādvī κλπ., διὸ καὶ δὲν διαλύονται παρ' Ὁμ., ὅπερ ἴσως θὰ παρετηρεῖτο, ἂν προήρχοντο ἐκ συναιρέσεως κατὰ τὰ λεχθέντα ἀνωτέρω σελ. 346 κέξ. Ὅτε τὸ πρὸ τοῦ F φωνῆεν ἦν *ι*, τότε τὸ ἐπεντιθέμενον ἡμίφωνον συνήπτετο μετ' αὐτοῦ, οὐχὶ εἰς δίφθογγον ὅπως ἐγίνετο μετὰ τοῦ *α, ο, ε*, ἀλλ' εἰς μακρὸν *ι·* πρβλ. *διFἰος - δῖος*. (Ὁμοίως ἐγένετο ἐν ταῖς πλαγίαις πτώσεσι πρὸ τῶν καταλήξεων *-ος -ι* κλπ. ἐπένθεσις τοῦ ἡμιφώνου *ἰ* ἐν τῷ **παFἰὸς -*παιFός, *παFἰὶ -*παιFὶ* (πρβλ. *παυίς, παFίδι* Βοιωτ. ἐπιγρ.) κλπ., ὅθεν παρ' Ὁμήρῳ ἡ μὲν ὀνομαστικὴ καὶ κλητικὴ ἔχουσι τὸ *αι* διαλελυμένον ἔτι, αἱ δὲ ἄλλαι πτώσεις εἰς μίαν συλλαβὴν ἡνωμένον, *πάϊς πάϊ* ἀλλὰ *παιδὸς παιδὶ παῖδα*. Ὁμοίως ἀναγινώσκεται καὶ ἐν ταῖς Κυπρίαις ἐπιγρ. τὸ *παιδὶ παῖδες* κλπ. ἄνευ F μεταξὺ τοῦ *α* καὶ *ι*, εἰ καὶ ἐν Κύπρῳ τὸ F ἐσῴζετο μεταξὺ φωνηέντων· δῆλον ἄρα ὅτι ἐγένετο ἐπένθεσις καὶ οὕτω τὸ *αι* ἐν ταῖς πλαγίαις πτώσεσιν ἐγένετο μο-

νοσύλλαβον. Βραδύτερον δὲ ἀνέκυψεν ὁ διὰ τοῦ *δ* σχηματισμός, ὅπως ἐν τῇ κλίσει ἔσται δῆλον. Ὁμοίως τῷ ***πάις πάι*** ἀλλὰ ****παι-Ϝ-ὸς*** ****παι-Ϝὶ*** κλπ. ἔχει καὶ τὸ ***ὄις ὄιν ὄϊς*** ἀλλ' ***οἰός, οἰῶν, οἴεσσι,*** ἤτοι ἐλέχθη κατ' ἐπένθεσιν ****οἰϜὸς*** ****οἰϜῶν*** ****οἴϜεσσι*** ἀντὶ ****οϜ***j***ὸς*** ****ὀϜ***j***ῶν*** ***οϜ***j***εσσι*** κλπ. Πρὸς δὲ τὸ ***δαὶς δαιδὸς*** κλπ. ἀπὸ ῥίζης ***δαυ-*** καὶ δὴ ****δαιϜ-ος*******δαιϜ-ι*******δαιϜ-α*******δαιϜ-ες*** κλπ. ἀντὶ ****δαϜ-***j***ὸς*******δαϜ-***j***ὶ*** κλπ., ἔπειτα δὲ ἀνεφάνη καὶ ἐν τούτῳ ὁ διὰ τοῦ *δ* σχηματισμός, ὅθεν ἐκ τῆς ἀρχαίας μὲν ὀνομαστικῆς ****δαϜ-ὶς δαῒς*** ἐσχηματίσθησαν αἱ παρ' Ὁμήρῳ σῳζόμεναι πτώσεις ***δαΐδων*** καὶ ***δαΐδας,*** ἐκ τῶν πλαγίων δὲ πτώσεων μετὰ τοῦ μονοσυλλάβου ***αι*** ἐσχηματίσθη νέα ὀνομαστικὴ παρ' Ἀττικοῖς ****δαΐς,*** ἐξ ἧς ***δᾴς,*** κατὰ τὰ εἰρημένα ἀνωτ. σελ. 240 - 1, καὶ περαιτέρω ***δᾳδὸς δᾳδὶ*** κλπ).

Τῆς παρὰ τὸ *σ* ἐπενθέσεως παραδείγματα πρῶτον αἱ μετοχαὶ εἰς ***-υῖα*** Ἰνδ. -uṣī, οἷον ***Ϝιδυῖα*** ἀντὶ ****Ϝιδυισα - Ϝιδυσ***j***α*** - *vidusja Ἰνδ. viduṣī, ***μυῖα*** ἀντὶ ****μυισα*** -****μυσ-***j***α*** Λατ. mus-ca. Ἔπειτα τὰ ῥήματα εἰς ***-αιω-αιομαι,*** ὧν χαρακτὴρ ἀποδείκνυται ὢν τὸ s, ***λιλαίομαι*** ἀντὶ ****λι-λασ-***j***ομαι,*** πρβλ. ***λάσ-τη*** πόρνη, ***λάσταυρος, λάστρις,*** lascivus, Γοτθ. lustus, ***μαίομαι (μάσσατο μαστὴρ μαστεύω ἐπίμαστος), ναίω*** (Ἰνδ. nas-atē), ***δαίομαι (ἐδάσσατο)· εἴην*** ἀντὶ ****εισην*** ἀπὸ ****εσ-***j***ην,*** Ἰνδ. s-yām, Λατ. siem, ***τοῖο λόγοιο*** ἀντὶ ****τοισο*******λογοισο*** ἀπὸ ****τοσ***j***ο*** ****λογοσ-***j***ο*** Ἰνδ. tasya, ***αἰδοῖος*** ἀπὸ ****αἰδοισος***-****αἰδοσ***j***ος, τελείω νεικείω ἀκείομαι*** κλπ. ἐκ ****τελεισω*** ****νεικεισω*** - ****τελεσ-***j***ω*** ****νεικεσ-***j***ω*** ****ακεσ-***j***ομαι*** κλπ., ***γεγονεῖα*** ἐκ ****γεγονεισα*** - ****γεγονεσ***j***α, ἀλήθεια*** ἐξ ****ἀλαθεισα*** - ****ἀλαθεσ-***j***α,*** ****ηριγενεσ-***j***α*** - ****ηριγενεισα - ἠριγένεια, Ἰφιγένεια,*******αναιδεσ***j***α*** - ****αναιδεισα - ἀναίδεια,*******ευκλεϜεσ-***j***α*** - ****εὐκλεϜεισα*** - ****εὐκλεεια - εὔκλεια, ἐμεῖο*** ἐξ ****ἐμειο*** - ****ἐμεσ***j***ο*** κλπ., ***κονίω*** ἀντὶ ****κονισω*** ἐκ ****κονισ-***j***ω*** κλπ. (ἰδὲ ἀνωτ. σελ. 396), ****ὀπυσ-***j***ω*** - ****ὀπυισω - ὀπυίω, ἀλυίω*** κλπ.

(Περὶ τῶν ἐπιθέτων τῶν παραγομένων ἐξ ὀνοματικοῦ θέματος περατουμένου εἰς -ς ὑπάρχει ἀμφιβολία, ἂν πρέπῃ νὰ ὑποτεθῇ ἐν αὐτοῖς παραγωγικὴ κατάληξις ***-***j***ος*** (πρβλ.****πεδ-jος - πεζός,*******αλjος-ἄλλος,*** ****μεθjος - μέσσος - μέσος),*** καὶ δὴ γένεσις τῶν περὶ ὧν ὁ

λόγος τύπων κατ' ἐπένθεσιν, ἡ κατάληξις *-ιος (οὐράν-ιος, ἄλ-ιος, χθόν-ιος* κλπ.) καὶ δὴ γένεσις τῶν περὶ ὧν ὁ λόγος τύπων διὰ συναιρέσεως μετὰ τὴν ἔκπτωσιν τοῦ ς· πρβλ. *γεραιός, γελοῖος, ἑρκεῖος, κνεφαῖος, αἰδοῖος, ἠοῖος, ἀφνειός, ὀνείδειος, κήδειος, ἐπέτειος, ὄρειος* κτλ. Ἐπὶ τῶν θηλ. εἰς *-υια, -εια,* τῶν ῥημ. εἰς *-αιω* (ἐξ *-ασἰω), -ειω,* ἐπὶ τῆς ἐν. γεν. εἰς *-οιο -ειο (ἐμεῖο, τοῖο)* ὑπῆρχεν ἀποδεδειγμένως ἀρχαιόθεν ἡμίφωνον καὶ δὴ ἐγένετο ἐπένθεσις. Πιθανώτερον δ' ὅμως φαίνεταί μοι ὅτι καὶ τὰ ἐπίθετα τὰ παραγόμενα ἐξ ὀνοματικοῦ θέματος εἰς -ς ἐγένοντο διὰ τοῦ ἐπιθήματος *-ἰος* καὶ κατ' ἐπένθεσιν, ἐπειδὴ παρ' Ὁμ. δὲν ἀναγινώσκονται ἀσυναίρετα· (πρβλ. ἀνωτ. σελ. 346 κἑξ.).

(Ἐπ' ἴσης ὑπάρχει ἀμφιβολία ἂν καθόλου ἐγένετο ἐπένθεσις παρὰ τὸ σῳζόμενον ἔτι μεταξὺ φωνηέντων s, ἢ ἂν μετὰ τὴν τροπὴν αὐτοῦ εἰς Η, τὸ Ηἰ διετέθη ἄλλως. Ἀμφότερα τὰ φαινόμενα, ἥ τε ἐπένθεσις καὶ ἡ τροπὴ τοῦ s εἰς Η συνέβησαν ἐν ἀρχαιοτάτοις χρόνοις, πρὸ τῆς διασπάσεως τῆς Ἑλληνικῆς γλώσσης εἰς τὰς γνωστὰς ἡμῖν διαλέκτους. Ἂν πρῶτον ἐτράπη τὸ s εἰς Η, ἀνάγκη νὰ ὑποληφθῇ ὅτι τὸ Ηἰ ἐγένετο ἰἰ καὶ τότε τὸ ἕτερον τούτων συνήφθη μετὰ τοῦ προηγουμένου φωνήεντος εἰς δίφθογγον, ἤτοι τὸ ***ἀλαθεσἰα** ἐγένετο ***ἀλαθεΗἰα - *ἀλαθεἰἰα - ἀλήθεια,** ὅπως ἀνωτ. σελ. 488-9 εἴδομεν τὸ Λατ. aiio, peiior κλπ. Ἀποβλέπων τις εἰς τοῦτο ὅτι τὸ ἰ παρὰ τὸ s συνήφθη καὶ μετὰ τοῦ *ε* καὶ τοῦ *υ* εἰς δίφθογγον, παρὰ δὲ τὸ *ρ* καὶ *ν* οὐχί, καὶ ὅτι τὸ sἰ οὐχὶ εὐκόλως τρέπεται εἰς ss- ἰs, εὑρίσκει πιθανωτέραν τὴν μετὰ τὴν τροπὴν τοῦ s εἰς Η διάθεσιν τούτων καὶ δὴ τὴν ἄρνησιν τῆς ἐπενθέσεως παρὰ τὸ s).

Παρὰ τὸ *ρ* προηγουμένου *α, ο,* γίνεται ἐπένθεσις πρῶτον ἐν πολλοῖς ῥήμασιν, οἷον *χαίρω, σκαίρω, αἴρω, ἀσπαίρω, καρκαίρω, μαρμαίρω* κλπ., ἔπειτα πολλαχοῦ, οἷον **ὄναιρον· ὄνειρον** Κρῆτες ἐκ τοῦ **ὄναρ,** καὶ **ὄνοιρον,** Λεσβ. παρὰ τὸ ***ὄνορ** ἀντὶ **ὄναρ** κατὰ τὰ εἰρημένα ἀνωτ. σ. 128-9, **κυπαίρω** παρ' Ἀλκμᾶνι ἀντὶ **κυπείρω, θαιρὸς** ἀντὶ ***θϝαρ-ἰὸς** ἐξ ἰσχυροτέρας βαθμῖδος τοῦ

θέματος *θυρ-*, πρβλ. Ἰνδ. dhvar καὶ Λατ. foras ἀντὶ dhuer- (ἰδὲ Τόμ. Α' σ. 257 κἑξ.), **μακαρἰα - μάκαιρα, *σφαρἰα - σφαῖρα, *μορἰα - μοῖρα* (πρβλ. *μόρος), *ἑταρἰα-ἑταίρα* παρὰ τὸ ἀρσ. *ἕταρος*. (Βραδύτερον ἐπλάσθη τοῦτο μὲν νέον θηλ. *ἑτάρη* ἐκ τοῦ *ἕταρος* παρ' Ὁμ., τοῦτο δὲ νέον ἀρσ. *ἑταῖρος* ἐκ τοῦ *ἑταίρα* (πρβλ. καὶ *Σφαῖρος* ἐκ τοῦ *σφαῖρα*, *Μέλισσος* ἐκ τοῦ *μέλισσα* κττ.), ὅτε καὶ ὁ χρόνος τοῦ *-ρα* καὶ ὁ τονισμὸς τοῦ *ἑταίρα* μετεβλήθη, πάντως παλαιότερον ἐτονίζετο, **ἕταιρᾰ* ὅπως *μάκαιρα*).

Ἐπένθεσις παρὰ τὸ *ν* γίνεται προηγουμένου *α*, *ο*, πρβλ. τὰ εἰς *-αινω* ῥήματα, οἷον *τεκταίνω*, *ἀφραίνω* (ἐκ **τεκτανἰω *ἀφρανἰω* καὶ ταῦτα ἐκ **τεκτῃ-ἰω *ἀφρῃ-ἰω*), ἔπειτα *φαίνω*, *σαίνω*, *ξαίνω*, *μαίνομαι*, *κραίνω*, *δραίνω*, *παπταίνω* κλπ. ἀντὶ **φανἰω*, **σανἰω*, **ξανἰω*, **μανἰομαι* κλπ. Τὰ εἰς *-αινα* θηλ., οἷον **ταλαν-ἰα *μέλαν-ἰα *τεκταν-ἰα, *γειταν-ἰα* ἀντὶ **τεκτῃ-ἰα *γειτῃ-ἰα, *λεϝαν-ἰα* ἀντὶ *λεϝῃ-ἰα* κλπ., ὅθεν *τάλαινα*, *μέλαινα*, *τέκταινα*, *γείταινα*, *λέαινα* κλπ., ὅθεν καὶ *κάπραινα*, *λύκαινα* κλπ.· *ἄγκοιναι* ἀντὶ *ἀγκονἰαι* πρβλ. *ἀγκών*.

Παρὰ τὸ *μ* γίνεται ἐπένθεσις ἐν ὀλίγοις τισίν, ἀλλὰ τὸ *μ* τρέπεται τότε πρὸ τοῦ *ι* εἰς *ν* (πρβλ. τὸ ἡμέτερον *κορμὶ-κορμνιάζω* = αἱμωδιῶ, οὕτω νῦν ἐν Κρήτῃ, ἀνθ' οὗ ἀλλαχοῦ *κουρνιάζω*)· πρβλ. *βαίνω* ἀντὶ **βαμἰω*, Γοτθ. qiman καὶ Ἰνδ. gam-ati. *χλαῖνα* παρὰ τὸ *χλαμύς*, **κομ-ἰος - κοινὸς* (com).

Καθ' ἃ εἴπομεν, ἂν τοῦ *ρ* καὶ *ν* προηγῆται φωνῆεν ἄλλο ἢ *α* καὶ *ο*, ἐπένθεσις δὲν γίνεται· τοῦτο δὲν εἶναι σαφές, ἄν τις ὁρμᾶται ἐκ μόνης τῆς Ἀττικῆς καὶ Ἰων. διαλέκτου, ἐπειδὴ τὸ ἐκ τῆς ἀντεκτάσεως προελθὸν μακρὸν ē γράφεται διὰ τοῦ *ει*, ὅπως δηλ. καὶ εἰ προῆλθεν ἐξ ἐπενθέσεως, πρβλ. *κτείνω*, *τείνω*, *ἀγείρω*, *σώτειρα*, *πεῖρα* κλπ. καὶ *ἤδεῖα*, *νεικείω* κλπ. Ἀλλὰ τὸ πᾶν γίνεται σαφές, εὐθὺς ὡς παραβάλωμεν τὰ τῶν ἄλλων διαλέκτων, ὅθεν διδασκόμεθα, ὅτι ὡς πρὸς μὲν τὰ τῆς ἐπενθέσεως φαινόμενα συμφωνοῦσι πᾶσαι αἱ διάλεκτοι, δῆλον ἄρα ὅτι τὸ φαινόμενον ἀνάγεται εἰς χρόνους ἀρχαιοτέρους τῆς διασπάσεως τῆς Ἑλλην-

γλώσσης εἰς τὰς γνωστὰς ἡμῖν διαλέκτους· πρβλ. *ἑταίρα, μάκαιρα, αἴρω, δῖος, φαίνω, χαίρω, μοῖρα, κοίρανος* ἐκ **κορίανος*, Γοτθ. harjis = κύριος, *τέκταινα, ἀλήθεια, ἀδεῖα, μυῖα, γεγονυῖα* κλπ. παρὰ πᾶσι τοῖς Ἕλλησιν. Τοὐναντίον δὲ ὡς πρὸς τὰ τῆς ἀντεκτάσεως διαφωνοῦσι μεγάλως αἱ διάλεκτοι, διὸ τῷ *ἀείρω, φθείρω, οἰκτίρω, ὀλοφύρομαι, κτείνω, τείνω, κλεινὸς* κλπ. ἀντιστοιχεῖ ἐν τῇ Αἰολικῇ μὲν διαλέκτῳ *ἀέρρω, φθέρρω, οἰκτίρρω, ὀλοφύρρομαι, κτέννω, τέννω, κλέννος* κλπ., ἐν τῇ ἄκρᾳ δὲ Δωρίδι κλπ. *κληνός, φθήρω* (Ἀρκαδ.). Δῆλον ἄρα ὅτι ἐν τούτοις οὐκ ἐγένετο ἐπένθεσις ἀλλ᾽ ἀφομοίωσις καὶ ἔπειτα ἀντέκτασις, ἐντεῦθεν ἡ διάφορος διάθεσις.

§ 3. *Νεώτεραί τινες διαλεκτικαὶ ἐπενθέσεις.* Παρὰ τὸ *λ* δὲν παρετηρήσαμεν τὸ φαινόμενον τῆς ἐπενθέσεως· πρβλ. *αἰόλλω, ἄλλος, βάλλω, πάλλω, ἄλλομαι, μοιμύλλω, ὀγκύλλω* κλπ., οὐχὶ *αἰοίλω, αἶλος, βαίλω, παίλω, αἴλομαι, μοιμυίλω* κλπ. Αἰτία τοῦ φαινομένου τούτου εἶναι πάντως ὅτι ταῦτα διαφόρως συλλαβιζόμενα ἠδυνήθησαν νὰ παραμείνωσιν ἀναλλοίωτα ἐπὶ μακρότερον χρόνον τῶν ἄλλων, ἐν οἷς τὸ *ρἰ, νἰ, σἰ,* ϝἰ, *μἰ* ἔκειτο. Ἐντεῦθεν ταῦτα μὲν ἔπαθον ὅ,τι ἔπαθον, τὸ δὲ *λἰ* κληρονομηθὲν μέχρι τῶν διαλεκτικῶν χρόνων ἐν μὲν ταῖς πλείσταις διαλέκτοις ἀφωμοιώθη εἰς *λλ* (ἰδὲ ἀνωτέρω σελ. 460 τὰ περὶ τοῦ **ϝελνω - εἴλω*, ἀλλὰ **ολνυμι ὄλλυμι* εἰρημένα), ἐν δὲ τῇ Κύπρῳ καὶ τῇ Ἠλείᾳ ἐγράφη *αἶλων, αἰλότρια, αἰλότροπον, Ἀπείλων* ἀντὶ **αλἰων, *αλἰοτρια, *αλἰοτροπον, *Ἀπελἰων* (πρβλ. Ἀθηνᾶς Τόμ. Η′ σελ. 469-70). Ἂν διὰ τῆς τοιαύτης παραστάσεως ἐδηλοῦτο γνησία δίφθογγος *αι, ει* ἢ μᾶλλον ἀρχαιόθεν σῳζομένη ἑτερόρροπός τις προφορὰ τοῦ *λ*, ἀμφίβολον, εἰ καὶ τὸ τελευταῖον πιθανώτερον. Ἄλλην ὁμοίως νεωτέραν ἐπένθεσιν εὑρίσκομεν ἐν τῇ Αἰολ. τῆς Λέσβου, πρβλ. *φαῖμι, φαῖσι* = φημὶ φησί, *ἴσταιμι, γέλαιμι, δοκίμοιμι, αἰμίσεων, Αἰσίοδος, αἰμίονος*, ἐν οἷς τὸ *ι* φαίνεται ὡσεὶ μετέβη ἀπὸ τῆς θέσεως αὐτοῦ εἰς τὴν ἀμέσως πρὸ αὐτοῦ συλλαβὴν καὶ ἅμα ἔμεινεν ἐν τῇ οἰκείᾳ χώρᾳ. Ἐν τῷ *αἰμίσεων, αἰμίονος, Αἰσίοδος* συνεδέθη εἰς *αι* μετὰ τοῦ ἀρχαίου

ē (πρβλ. **sēmi-**), ἀνοικτοῦ, ὡς φαίνεται, προφερομένου. Τὰ μακρὰ φωνήεντα τῆς λαβούσης τὸ *ι* συλλαβῆς ἐβραχύνθησαν κατὰ τὰ εἰρημένα ἀνωτέρω σελ. 404 ἤτοι ἐλέχθη ***δοκίμοιμι*** ἀντὶ ****δοκίμωιμι*** ἀπὸ ***δοκίμωμι, φαῖμι*** ἀντὶ ****φᾶιμι*** κλπ.

§ 4. ***Ἐπενθέσεις ἀναλήθεις.*** Ἄλλοτε ἐδιδάσκετο ὅτι καὶ παρὰ τὰ κλειστὰ ἢ καὶ παρὰ δύο σύμφωνα καὶ παρὰ τὸ ***ερ, εν*** ἐγίνετο τοῦ *ι̯* ἐπένθεσις, ἔτι δὲ καὶ τοῦ *υ̯*. Ἀλλὰ τῶν τεκμηρίων τῆς ἐπενθέσεως ταύτης ἄλλα μὲν ἑρμηνεύονται ἄλλως, λ. χ. τὸ ***εἰν ἀγορῇ, εἰν ἁλί, ὑπεὶρ ἅλα, ὑπείροχον, Πειρίθοον*** κττ. ἡρμηνεύθησαν ἀνωτέρω σελ. 434 διὰ μετρικῆς ἐκτάσεως. Ἄλλα δέ, οἷον ***κρεῖσσον, μεῖζον*** ἀντὶ Ἰων. ***κρέσσον, μέζον*** δὲν ἠδύνατο νὰ προέλθωσιν ἐξ ἐπενθέσεως τοῦ *ι* τῆς καταλήξεως ***-ιον***, ἤτοι ἐκ τοῦ ****μεγ-ι̯ων*** ****κρετ-ι̯ων,*** διότι τὸ *ι̯* τοῦτο κεῖται ἤδη συγκεχωνευμένον ἐν τῷ *ζ, σσ.* Τὸ ***μεῖζον*** ἄρα καὶ ***κρεῖσσον*** προῆλθον ἐκ τῶν παλαιοτέρων, τῶν καὶ παραδεδομένων, ***κρέσσον, μέζον*** κατ' ἀναλογίαν ἄλλων συγγενῶν κατὰ τὴν ἔννοιαν συγκριτικῶν ἐχόντων μακρὰν τὴν παραλήγουσαν, οἷον ***ἀρείων, ἀμείνων, ἥσσων, ἐλάσσων, θᾶσσον, μείων, χερείων*** κλπ. Τοὐναντίον συνέβη εἰς τὸ Ἰωνικὸν ***ἕσσον,*** ἤτοι ἐβραχύνθη (πρβλ. ***ἦκα, ἥκιστα***) κατὰ τὸ ***κρέσσον, μέζον.***

Ὁμοίως παρεδέχοντο ἄλλοτε ἐπένθεσιν ἐν τῷ ***αἴξ αἰγός,*** ἐπειδὴ Ἰνδ. λέγεται ajā', Λιθ. ozy's, ἀλλ' ἔπειτα παρετηρήθη ὅτι καὶ παρὰ τοῖς Ἀρμενίοις ἡ λέξις λέγεται μετὰ διφθόγγου, ἤτοι aic, ἐντεῦθεν ἠκάσθη ὅτι βάσις ἦν ῥίζα μετὰ μακροφώνου διφθόγγου āi, ἥτις κατὰ τὰ εἰρημένα ἐν Τόμ. Α' σελ. 259 - 62 ἠδύνατο καὶ ν' ἀποβάλῃ τὸ ὑποτακτικὸν αὐτῆς φωνῆεν καὶ νὰ βραχύνῃ τὸ προτακτικὸν καὶ οὕτω νὰ ἐμφανίζῃ ā καὶ ăi.

Καὶ παρὰ δύο σύμφωνα παρεδέχοντο ἐπένθεσιν καὶ τοῦτο, ἵνα ἐτυμολογικῶς συνάψωσι καὶ ἑρμηνεύσωσι λέξεις τινάς, οἷον ***αἰχμὴ*** (ἀντὶ ****αχμι̯ὰ***) πρὸς τὸ ***ἔγχος*** (νῦν συνάπτεται τῷ Λιθ. e'szmas = ὀβελός)· ***αἴγλη*** (ἀντὶ ****αγλι̯α***) πρὸς τὸ Ἰνδ. agnis = πῦρ· ***αἴφνης*** (ἀντὶ ****αφνι̯ας***) πρὸς τὸ ***ἄφνω*** (νῦν πρὸς τὸ ***αἶψα***)· ***αἶκνον***

δεῖπνον πρὸς τὸ *ἄκολος* καὶ τὸ Ἰνδ. aç·nā'ti = ἐσθίει· *δεῖπνον* πρὸς τὸ *δέπας* καὶ Γοτθ. lêwa = τάξις· *αἶκλοι*· αἱ γωνίαι τοῦ βέλους ἀντὶ **ακλ̯οι* πρὸς τὸ *ἀκίς, ἀκωκή, ἀκόνη, acus acuere*· *ῥαίνω* ἀντὶ **ῥαδν̯ω* διὰ τὸ *ἐρράδαται* πρὸς τὸ *ῥαθάμιγγες*· *δέσποινα* ἀντὶ **δεσποτν̯α* πρὸς τὸ *δεσπότης*, (τοῦτο ἡρμήνευσεν ὁ ἀείμνηστος διδάσκαλός μου Joh. Schmidt ὀρθότερον ἐκ **δε(μ)σποιμνja*, τὸ δὲ **ποιμνja* ἀνεῦρεν ἐν τῷ Ἀρχ. Βακτρ. paēman, Λιθ. pëʹnas = γάλα, ἀρχ. Ἀγγλοσαξον. foemne = παρθένος καὶ ἔγγαμος, ἀρχ. Σκανδιν. feima = παρθένος. Ἡ δίφθογγος ἄρα ἦν ἐν τῇ λέξει ἀρχαία καὶ οὐδεμία ἐγένετο ἐπένθεσις). Τὸ *κραιπνὸς* ἀντὶ *κραπν̯ὸς* πρὸς τὸ *καρπάλιμος* (πρβλ. καὶ *κραιπάλη*, ὅπερ κωλύει). Ἀλλὰ πᾶσαι αὗται αἱ ἐτυμολογίαι εἶναι ἀβέβαιοι, ἔνιαι δὲ καὶ ἐξηλέγχθησαν ἤδη, ὡς εἴδομεν, πλημμελεῖς, ἄλλων φθογγολογικῶς ὀρθῶν ἐξευρεθεισῶν. Διὰ τοῦτο σήμερον οὔτε παρὰ τὰ κλειστὰ ἄφωνα οὔτε παρὰ δύο σύμφωνα κττ. παραδέχονται ἐπένθεσιν.

Καὶ τοῦ *u̯* παρεδέχοντο ἐπένθεσιν παρὰ τὰ ὑγρὰ καὶ ἔρρινα, οἷον *ταῦρος* ἀρχ. Ἰρλ. tarb, Γαλατ. tarvos· *Κένταυρος*, Ἰνδ. gandharvá-s· *αὐλός, αὐλών*, Λατ. alvos, alveus· *νεῦρον*, Λατ. nervom· *γευνῶν*· γονάτων· *ἔρβως*· εὐρὼς κλπ. Ἀλλὰ πρῶτον ἀνωτέρω σελ. 461 εἴδομεν ὅτι ὁ φθόγγος *u̯* κατόπιν τῶν ὑγρῶν καὶ τοῦ *ν* ἀφωμοιοῦτο αὐτοῖς καὶ ἀπεβάλλετο μετ' ἀντεκτάσεως ἢ ἄνευ αὐτῆς κατὰ τὰς διαφόρους διαλέκτους (πρβλ. *κόρϝα-κώρα-κούρη-κόρα-κόρη, ὅλϝος-οὖλος-ὦλος-ὅλος, ξένϝος-ξῆνος-ξεῖνος-ξένος)*· ἀπορεῖται ἄρα, πῶς ἦν δυνατὸν νὰ διατεθῶσι ταὐτὰ καὶ ἄλλως. Καὶ ἀληθῶς ἐπιμελεστέρα ἐξέτασις ἀποδεικνύει ὅτι καὶ οἱ Λατ. ἔλεγον taurus καὶ οἱ Ὄσχοι *ταυρομ* καὶ οἱ Λιθουανοὶ tauras καὶ οἱ ἀρχ. Πρῶσσοι tauris· δῆλον ἄρα ὅτι ἡ δίφθογγος au ἦν ἐν τῇ λέξει ταύτῃ ἀρχαία καὶ δὲν προῆλθεν ἐν τῇ Ἑλλ. κατ' ἐπένθεσιν. Τὸ δὲ *Κένταυρος* καὶ τὸ Ἰνδ. gandharvás δὲν σημαίνουσι τὰ αὐτὰ μυθολογικὰ ὄντα καὶ δὴ οὐδ' ἡ φθογγικὴ αὐτῶν ταυτότης εἶναι ἀναγκαία. Ὁμοίως λέγεται καὶ ὑπὸ τῶν Λιθουαν. aulys ἡ τῶν μελισσῶν κυψέλη, καὶ δὴ πάλιν οὐδὲ

ἐν τούτῳ πρόκειται περὶ ἐπενθέσεως ἐν τῇ Ἑλλην. γλώσσῃ. Διὰ ταῦτα πάντα ᾐκάσθη, ὅτι ἤδη ἐν ἀρχαίοις Ἰαπετικοῖς χρόνοις ἐγένετο πολλαχοῦ μετάθεσίς τις, ὥστε ἐκ φων. + ὑγρῷ + u ἐγένετο φων. + u + ὑγρῷ. Ἐντεῦθεν τὸ tarv- ἐγένετο καὶ taur-, τὸ nervom καὶ *νεῦρον νευρὴ* Ζενδ. snāvare, τὸ arvom καὶ *ἄρουρα* ἀντὶ **αρ-ορμα* (πρβλ. **πρεσγ-ϝά-πρέσβα)*, τὸ arvan Ἰνδ. καὶ *αὖρι*=ταχέως, *αὐριβάτας*, τὸ alveus καὶ *αὐλὸς αὐλών*, τὸ ἀρχ. Γερμ. marawi= ὥριμος καὶ *ἀμαυρὸς* κλπ. Τὸ δὲ *ἔρβως*=*ἐρϝὼς* παρὰ τὸ *εὐρὼς* ἑρμηνεύεται κατὰ μετάθεσιν τοῦ *ρ* (περὶ ἧς ἰδὲ κατωτ.), ἤτοι ἐκ ῥίζης ver (= καλύπτειν) ἐγένετο *ε-ϝρ-ωτ* - *εὐρωτ-*, ὅθεν μεταθέσει *ἐρϝωτ-*. Καὶ τὸ Αἰολ. *δαύχνα* ἀντὶ *δάφνη* ἐν τῷ Θεσσαλ. *Δαυχναίου*, *ἀρχιδαυχναφορείσας*, ἐν τῷ παρ' Ἀλκμᾶνι τὸν *δαυχνοφόρον* ἑρμηνεύεται ἐκ τῆς μεταξὺ συμφώνων θέσεως τοῦ *u*, τ. ἔ. ἢν **δαχuνα*, ὅθεν τοῦτο μὲν κατὰ χείλωσιν (ἰδὲ τὰ Περὶ συμφώνων) *δάφνα*, τοῦτο δὲ κατὰ μετάθεσιν τοῦ *u* **δαuχνα* - *δαύχνα*· πρβλ. καὶ *δαυχ-μός*, παρ' Ἡσυχ. *δαυχμόν*· εὔκαυστον ξύλον δάφνης, καὶ τὸ ὑπὸ τοῦ Σχολ. τοῦ Νικάνδρου «Ἀντίγονος δὲ λέγει *δαύχμον*· ἔστι δάφνη πικρά»· πρβλ. ἔτι *ἄμφην αὔφην* Αἰολ. καὶ *αὐχὴν* (περὶ τούτων ἰδὲ κατωτ. ἐν τῷ Περὶ τῶν συμφώνων). Μόνον τὸ *γευνῶν*· γονάτων παρὰ τὸ genuum μένει ὄντως ἀνερμήνευτον, ἂν μὴ ὁμολογήσωμεν ἐπένθεσιν. Ἀλλὰ πότε καὶ ποῦ ἐγένετο, ἄδηλον.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'

ΠΕΡΙ ΑΠΟΒΟΛΗΣ ΦΩΝΗΕΝΤΩΝ, ΑΦΑΙΡΕΣΕΩΣ, ΣΥΓΚΟΠΗΣ, ΑΠΟΚΟΠΗΣ *κλπ.*

§ 1. *Ποσαχῶς ἐμφανίζεται ἡ ἀπώλεια τῶν φωνηέντων.* Ἐπανειλημμένως μέχρι τοῦδε εἴδομεν συνδυαστὰς τῶν φωνηέντων παθήσεις, ὅτι δηλαδὴ διὰ τοὺς γειτονεύοντας φθόγγους πάσχουσι πολυειδῶς τὰ φωνήεντα· οὕτω λ. χ. ἀποβάλλονται ἐκ τῆς ἀρχῆς τῶν λέξεων κατ᾿ ἀφαίρεσιν ἢ κρᾶσιν, *ποῦ 'στιν, δὴ 'κεχήνη* ἢ μᾶλλον *ποῦστιν, δὴκεχήνη* (ἰδὲ ἀνωτέρω σελ. 289), ἢ ἐκ τοῦ τέλους κατ᾿ ἔκθλιψιν, *ὁ δ' ἄλλος, δείν' ἔπαθον* κλπ. ἢ ἐκ τοῦ μέσου κατὰ συναίρεσιν, *ποιέω - ποιῶ, γενέων - γενῶν, πλόου - πλοῦ* κλπ. Ἀλλ᾿ ἐπίσης εἴδομεν ὅτι καὶ ἄνευ τινὸς τοιαύτης αἰτίας ἀπόλλυται ἐνίοτε βραχὺ φωνῆεν, οἷον *ἱερωσύνη* (σελ. 317), *Ὀποντίων, ναχόρος, οἶμαι* (319 καὶ 343), *Ὀλοντίοι, Ὀλοντίων, Λαδάμας* (365) κλπ. Καὶ ταῦτα μὲν ἡρμηνεύθησαν ἤδη· ἀλλ᾿ ἐκτὸς τούτων παρατηρεῖται ὅτι καὶ ἄλλαι διάφοροι παρατηροῦνται ἀπώλειαι βραχέων φωνηέντων, ἃς χάριν τοῦ εὐσυνόπτου διαιροῦμεν α) εἰς ἀπωλείας ἐκ τῆς ἀρχῆς τῶν λέξεων *(ἀφαιρέσεις)*, β) εἰς ἀπωλείας ἐκ τοῦ τέλους *(ἀποκοπάς)*, γ) εἰς ἀπωλείας ἐκ τοῦ μέσου *(συγκοπὰς* καὶ

ὑφαιρέσεις [1]). Τούτων δὲ ἄλλαι μὲν εἶναι ἀληθεῖς καὶ δέονται ἑρμηνείας, ἄλλαι δὲ ὀφείλονται εἰς πλημμελεῖς ἐτυμολογίας καὶ ἀνάγκη νὰ ἐκβληθῶσιν ἐκ τῆς τάξεως τῶν περὶ ὧν ὁ λόγος φαινομένων· διότι οἱ παλαιοὶ Γραμματικοὶ ἀγνοοῦντες τὴν παλαιότατα ἐν αὐτοῖς τοῖς Ἰαπετικοῖς χρόνοις γενομένην μετάπτωσιν, δι' ἧς καθ' ἃ εἴδομεν ἐν Τόμ. Α' σελ. 247 κἑξ. πᾶν τὸ φωνητικὸν σύστημα τῶν Ἰαπετικῶν γλωσσῶν συνεταράχθη, κατέλεγον καὶ ἡρμήνευον πάμπολλα μεταπτωτικὰ φαινόμενα δι' ἐλλείψεως, διὰ συγκοπῆς, ἀφαιρέσεως, ἄρσεως, ἐνδείας, παραλείψεως κλπ. Ἐπειδὴ δὲ καὶ τοῦ κύρους τῶν φθογγικῶν νόμων οὐδεμίαν εἶχον γνῶσιν, παρεδέχοντο κατὰ τὰς ἐτυμολογικὰς ἀποπείρας αὐτῶν μέγα πλῆθος τοιούτων παθῶν. Ἀκριβὴς ἔλεγχος πάντων τῶν πλημμελῶς διδαχθέντων θὰ ἀπήρτιζε βιβλίον ὅλον, διὸ περιοριζόμεθα κατ' ἀνάγκην ἐν τοῖς κεφαλαιωδεστέροις.

§ 2. ***Ἀφαίρεσις βραχέος φωνήεντος.*** Ἐν τῇ νεωτέρᾳ Ἑλληνικῇ φέρονται πολλαὶ λέξεις ἄνευ τοῦ ἄλλοτε ἐν ἀρχῇ ὑπάρχοντος ἀτόνου φωνήεντος ἢ διφθόγγου· πρβλ. ***δὲ φελᾷ*** (= ὠφελεῖ), ***ψήνω, μέρα, λιάζει, πές τα, λίγο, σταχούς, δρώνω, γούμενος, μουδιάζω, ζάρω*** (usare), ***δὲν*** (= οὐδέν), ***ξινάρια, κονίσματα, πίσκοπος, σπαράγγι, στράγαλος, ρωτῶ, ρίφι, σκάρα, σκαρί, ρεύ(γ)ομαι*** κλπ.· αἰτία δὲ τούτων εἶναι ἡ ἀνωτέρω σελ. 98 παρατηρηθεῖσα σχετικὴ δύναμις τῶν φωνηέντων τῆς νεωτέρας ἡμῶν γλώσσης. Ἐπειδὴ δ' ὅμως ἐν τῇ ἀρχαίᾳ Ἑλλ. τὰ φωνήεντα διέφερον ἀλλήλων οὐ μόνον κατὰ τὸ ἄνοιγμα τοῦ στόματος τὸ ἀπαιτούμενον πρὸς σχηματισμὸν ἑκάστου, ὅπως τὰ ἡμέτερα, ἀλλὰ καὶ κατὰ τὴν μακρὰν ἢ βραχεῖαν προσῳδίαν, διὰ τοῦτο ὑπ' ἄλλων διείποντο νόμων

[1]) Τὸ φαινόμενον τοῦτο παρετήρησαν καὶ ἐπιμελῶς ἐξήτασαν οἱ παλαιοὶ Γραμματικοὶ πολλὰ μὲν ἀληθῆ, πολλῷ δὲ πλείονα πλημμελῆ διδάξαντες· ἐκάλεσαν δὲ διαφόροις ὀνόμασιν, ἤτοι ***ἔλλειψιν, παράλειψιν, ἄρσιν, συστολήν, ὑφαίρεσιν, ἀφαίρεσιν, ἐξαίρεσιν, ἔνδειαν (ἐνδείᾳ τοῦ, κατ' ἔνδειαν τοῦ), θλῖψιν, ἔκθλιψιν, συγκοπήν, ἀποκοπὴν*** κλπ. Μετὰ μακρὸν σάλον ἐπεκράτησε νὰ λέγηται ***ἀφαίρεσις*** ἡ ἐν ἀρχῇ λέξεως ἀπώλεια φωνήεντος ἢ συμφώνου, οἷον ***ἐθέλω - θέλω, λείβειν - εἴβειν***, ***συγκοπὴ*** ἢ ***ὑφαίρεσις*** ἡ ἐν μέσῳ, οἷον ***ὀλοὲ - ὀλέ***, ***ἀποκοπὴ*** δὲ ἡ ἐν τέλει ***τοῖσι - τοῖς, προτὶ -*προσι - πρός.***

καὶ τὸ φαινόμενον τῆς ἀφαιρέσεως αὐτῶν διὰ τὴν σύγκρουσιν πρὸς ἄλλα ἰσχυρότερα εἶναι σφόδρα σπάνιον.

Οὕτως ἐλέχθη ***θέλω*** ἀντὶ παλαιοτέρου ***ἐθέλω*** (ἀεὶ δ' ὅμως ***ἤθελον ἠθέλησα***), διότι ἐκ τῶν φράσεων, ***θεοῦθέλοντος, ἂν μὴθέλῃς, ποῖθέλεις, ποῦθέλεις;*** κττ. ἠδύνατο εὐκόλως ν' ἀφαιρεθῇ τὸ ***θέλω*** (πρβλ. τὸ Ὁμηρ. *μηδὲ σὺ Πηλείδηἤθελε*)· τὸ ***θέλησις*** καὶ ***θέλημα*** πλασθέντα ἐν τοῖς μετγν. χρόνοις ἐλέχθησαν ἄνευ τοῦ *ε*, τὸ δὲ ***ἐθελοντήρ, ἐθελοντήν, ἐθελούσιος, ἐθελόδουλος, ἐθελοκακέω*** τοὐναντίον ἀρχαῖα ὄντα ἐλέχθησαν μόνον μετὰ τοῦ *ε*, ἄλλα δὲ διττῶς, οἷον ***(ἐ)θελήμων, (ἐ)θελοντής***.

Ὁσάκις τὸ *εο* ἢ *οε* ἔκειτο πρὸ δύο συμφώνων, μάλιστα πρὸ ἡμιφώνου + ἀφώνῳ, τότε, ἐπειδὴ αὐτόθι κατὰ τὰ εἰρημένα ἐν σ. 404 καὶ τἀρχαιόθεν μακρὰ συνεστέλλοντο, καὶ ἐπειδὴ τὰ ἀπωτάτω τοῦ τόνου κείμενα ὑπέκειντο εὐκολώτερον τῶν ἄλλων τῇ ἐξασθενώσει, διὰ ταῦτα ἀντὶ τοῦ προσδοκωμένου *ου* ἀπαντᾷ μόνον *ο*· πρβλ. τἀνωτ. σελ. 319 μνημονευθὲν Ἰωνικὸν ***ὀρτὴ ὀρτάζω*** ἀντὶ ***ἑορτή, *ἑοργὴ - ὀργή, ὀργάζω, ὀργάω, ὀργίζομαι, ὀργαίνω, ἐὼν ἐόντος - ὢν ὄντος, οὐσία*** κλπ., ἐν ἐπιγραφῇ Μυλάσων κεῖται ***ἐούσης*** ἀλλ' ***οὐσίης***. Ὅτι ὑπὸ τοῦ σύγκλυδος ὄχλου ἐν Ἀθήναις ἐτολμῶντο ἐνίοτε μεγάλαι τινὲς τῶν λέξεων φθοραί, εἴδομεν ἐν Τόμ. Α' σελ. 334, ὅτε ἐγένετο λόγος περὶ τοῦ ***κτὼ βολῶν, ττάρων βολῶν*** κττ. Ἀλλὰ ταῦτα, τολμήματα πάντοτε ἐνίων θρασέων καὶ ἀμαθῶν, εἶναι ἀλλότρια τῆς Ἑλληνικῆς γλώσσης, καθ' ἃ ἐκεῖ παρετηρήθη. Μόνον τὸ ***σκορακίζω*** ὁρμηθὲν πάντως ἀπὸ τῆς τάξεως τῶν ἀνθρώπων τούτων εἰσῆλθε διὰ τῶν ῥητόρων καὶ εἰς τὸν γραπτὸν λόγον.

Πολλὰ τοιαῦτα ἀναγινώσκονται παρὰ τοῖς Γραμματικοῖς καὶ παρ' Ἡσυχίῳ, οἷον ***λέβινθοι· ἐρέβινθοι, ῥέψας· στεγάσας***, ἤτοι ***ἐρέψας***, καὶ ***ῥέφεα***· στεγάσματα, ***δύρεσθαι, λέκρανα, λοφυδνὸς*** κττ. Ἀλλ' ὅταν τις ἐνθυμηθῇ ὅτι καὶ τὸ Ὁμηρ. ***Καινέα τ' Ἐξάδιόν τε*** ἀνέγνωσάν τινες ***Καινέα τε Ξάδιόν τε***, τότε δὲν δύναται νὰ πιστεύῃ ὅτι πάντα ταῦτα ὑπῆρξαν ἀληθῶς ἐν τῇ γλώσσῃ.

Ἐπὶ κυρίων ὀνομάτων παρατηρεῖται πολλάκις ἀποβολὴ σπα-

νίως μὲν μόνου τοῦ ἀρκτικοῦ φωνήεντος, συνήθως δὲ ὅλης συλλαβῆς ἢ καὶ πλειόνων τῆς μιᾶς, οἷον τὰ ἐκ Παμφυλ. *Φορδισία Φορδισίου* = *Ἀφροδισία Ἀφροδισίου, Φορδίσις Ἀφορδισίου* καὶ *Ἀφορδίσιυς, Θανοδώρου* = *Ἀθαναδώρου*, τὸ ἐκ Θεσσαλ. *Γόνιππος* ἀντὶ *Ἀγώνιππος, Γάδωρος* Ἠλ., *Γαμείδεις* Βοιωτ., *Γάτιμος* ἀντὶ *Ἀγαμήδης, Ἀγάδωρος, Ἀγάτιμος, Γελάνωρ, Γέλαρχος* ἀντὶ *Ἀγελάνωρ, Ἀγέλαρχος, Λάσιππος* ἀντὶ *Ἐλάσιππος* Βοιωτ., *Ναξικλῆς, Νάξανδρος* ἀντὶ *Ἀναξικλῆς, Ἀνάξανδρος, Πινίκης* ἀντὶ *Ἐπινίκης, Πικράτης, Νησίμαχος* ἀντὶ *Ὀνησίμαχος, Μευσάνιος* ἀντὶ *Ἀμευσάνιος* καὶ τὰ τοιαῦτα· ἀλλὰ καὶ *Ἀτρόμητος - Τρόμης, Ἀθάμας - Τάμμας, Πολύβιος - Βίος Βίων, Ἱππόνικος - Ἵππος Ἱππίας* κλπ. Ἐν τούτοις ἀληθῶς δὲν πρόκειται περὶ φωνητικῶν παθῶν, ἀλλὰ περὶ τεχνολογικῶν φαινομένων, ἤτοι περὶ ἀλλοιώσεων ἃς ἐν τῇ ἀρχῇ ἢ ἐν τῷ τέλει πάσχουσι τὰ κύρια ὀνόματα ὑποκοριζόμενα. Ἰδὲ Τόμ. Α΄ σελ. 185.

Καὶ ἐν ἄλλοις ὁμοίως οὐδεμία πρόκειται ἀφαίρεσις ἀλλὰ μᾶλλον ἀρχαία διαφορά· οὕτω λ. χ. τὸ *κεῖνος, κεῖθι, κεῖθεν, κεῖσε* εἶναι ἀρχαῖα καὶ διαφέρουσι τοῦ *ἐκεῖνος* κλπ., πρβλ. Λατ. ci-s, ci-ter, ce-do. Τὸ δὲ *ἐκεῖνος ἐκεῖσε ἐκεῖθεν* ἐγένοντο διὰ τῆς προσθέσεως τοῦ ε, τοῦ ἀντωνυμικοῦ θέματος o/e, ὃ καὶ ἐν τῷ Λατ. e-quidem, ἐν τῷ Ὀσκ. e-tanto, ὅπως καὶ ἐν τῷ *ἐχθὲς* παρὰ τὸ *χθές*, Λατ. heri, Ἰνδ. hyas. Τὸ δὲ **πι* καὶ *ἐπὶ* κττ. *πιέζω* ἀντὶ (*e)pisedjo, Ἰνδ. pīdayati ἐκ pizdayati, ἔχουσι μεταπτωτικῶς. Ὁμοίως ἀποδείκνυται ὅτι οὐδὲν ἀφῃρέθη φωνῆεν ἐκ τοῦ *μοιχὸς* παρὰ τὸ *ὀμίχλη ὀμιχέω*, διότι καὶ Λατ. mingo meio καὶ Ἰνδ. mēghati, οὐδὲν ἐκ τοῦ *λίπος λιπαρὸς* παρὰ τὸ *ἀλείφω*, διότι καὶ Ἰνδ. limpáti = *ἀλείφω*, lēpanam οὐδ. = ἡ ἀλοιφή, riprám = ἀκαθαρσία κλπ., οὐδὲν ἐκ τοῦ *μαλακὸς* παρὰ τὸ *ἀμαλὸς ἀμβλὺς* διὰ τὸ mollis, καὶ οὕτω πανταχοῦ, ἔνθα τὴν ποικιλίαν εὑρίσκομεν καὶ ἐν ἄλλαις γλώσσαις, οἷον *ἔνι ἔνερθεν ἐνέρτερος* καὶ *νέρθεν νέρτερος*, Λατ. *ni sdos - nidus, Ἰνδ. nīdas, Γερμαν. nieder· *μὲ* καὶ *ἐμὲ* παρὰ τὸ Λατιν. me, mi-hi, Γοτθ. mik καὶ τὸ Ἀρμενιακὸν im, ἃ φαίνεται ὅτι

σῴζουσιν ἀρχαίαν ποικιλίαν τοῦ θέματος *ἐμε-* καὶ *με-*. Σημειωτέον δὲ ὅτι ἐν πολλοῖς παρατηρεῖται προσθήκη φωνήεντος ἐν ἀρχῇ λέξεως, οἷον *ἐρυθρὸς ἐρεύθω* ruber, *ἐρεύγομαι ἐρυγὴ* ructare κτλ., ὥστε ἡ ἀφαίρεσις συνάπτεται τῇ προσθέσει καὶ πολλάκις ἀμφιβάλλεται πότερον προσθήκην ἢ ἀφαίρεσιν ὀφείλομεν νὰ ὁμολογήσωμεν. Περὶ τούτων ἰδὲ κατωτ. Κεφαλ. ΚΕ΄.

§ 3. *Ἀποκοπὴ βραχέος φωνήεντος*. Καθ' ὃν τρόπον ἡ ἀπόστασις τοῦ ἀρκτικοῦ βραχέος φωνήεντος ἀπὸ τῆς τονουμένης συλλαβῆς ἠδύνατο νὰ καταστῇ αἰτία παρασιωπήσεως αὐτοῦ, οὕτω συνέβη καὶ τοῖς τελικοῖς φωνήεσιν, ἤτοι καὶ ταῦτα ἐπὶ λέξεων προκλιτικῶν καὶ δὴ στηριζομένων κατὰ τὴν ἐκφώνησιν ἐπὶ ἄλλων, ἐξεφωνοῦντο ἀσθενῶς καὶ ἠδύναντο νὰ παρασιωπηθῶσιν.

Οὕτως αἱ προθέσεις, περὶ ὧν ἤδη ἐν Τόμ. Α΄ σελ. 518, 567-8 εἴπομεν ὅτι ἐξεφέροντο προκλιτικῶς, ἤτοι ἄνευ κυρίου τόνου, ἀπέβαλλον τὸ τελικὸν αὐτῶν φωνῆεν πολλάκις, ὅτε προηγοῦντο τῆς πτώσεως μεθ' ἧς συντακτικῶς συνεδέοντο, ἢ τοῦ ῥηματικοῦ τύπου, ὃν προσδιώριζον, οὐχὶ δὲ και ὅτε εἵποντο τούτοις, τ.ἔ. οὐχὶ ὅτε ἔσῳζον τὴν ἰδίαν αὐτοτέλειαν. Διὰ ταῦτα ἀρχαιόθεν ἐλέγετο οὐ μόνον *ἀπό, ἀνά, κατά, παρά, ἐπί, προτί, ποτὶ* κττ., ἀλλὰ καὶ *ἀπ, ἀν, περ, κατ, ἐπ* (Θεσσαλ.), *ποτ* καὶ *πος* ἐκ **ποσι* ἀντὶ *ποτί, πρὸς* (ὃ καὶ Ἀττ.) ἐκ **προσι* ἀντὶ *προτὶ* κττ. Οὐδεμία ἀμφιβολία ὅτι ἡ ἀπώλεια αὕτη συνέβαινε διὰ τὸ πλῆθος τῶν ἀτόνων συλλαβῶν, μάλιστα, ὅτε εἵπετο ὁμοία συλλαβή. Καθ' ὃν δηλ. τρόπον ἡμεῖς λέγομεν *μὲ τὰ πράματα* ἀντὶ *μετὰ τὰ πράγματα, κὰ τὰ Κράβαρα* ἀντὶ *κατὰ τὰ Κράβαρα*, οὕτως ἔλεγον καὶ ἐκεῖνοι *κατάδε* ἢ *καττάδε, καταῦτα* ἢ *ματταῦτα, ποττῷ, καδδεδικάσθω, καδαλήμενοι* κλπ., Θεσσαλ. *ἀττᾶς=ἀπὸ τᾶς, ἐττοῖ=ἐπὶ τοῖ, ἀππεῖσαι=ἀποτεῖσαι, ὑπρὸ* ἀντὶ *ὑποπρό*, Αἰολ. *ἀπ πατέρων, κασπολέω* κλπ.· πρβλ. Γερμ. zu dem König-zum König, im dem Haus-im Haus, ἢ τὰ ἡμέτερα *θέλει νὰ φάγῃ - θενὰ φάγῃ - θὰ φάγῃ, ἄφες τον νὰ χαθῇ - ἄς τον νὰ χαθῇ, ἠμπορεῖ νὰ κάμῃ - μπορὰ κάμῃ* κλπ. Βραδύτερον, ὡς εἰκός, ἐπῆλθεν ἐν ταῖς διαφόροις διαλέκτοις

ἐξομαλισμός, ἀλλ' ὅπως ὡς πρὸς τἆλλα φαινόμενα οὕτω καὶ ὡς πρὸς τοῦτο ἀλλαχοῦ ἄλλος· ἐντεῦθεν, ἄν τις ἐξαιρέσῃ τὰς προθέσεις *διά, ἀντί, ἀμφί,* ὧν ἐκράτησεν ὁ πλήρης τύπος, διότι ἡ μὲν *διὰ* ἀποκοπεῖσα τὸ α θὰ συνέπιπτε τῷ ἀριθμητικῷ *δι-*, ἡ δὲ *ἀντὶ* καὶ *ἀμφί,* πρὸ ἄλλων συμφώνων ἀποκοπτόμεναι, θὰ παρεῖχον ἀνεκφώνητα συμφωνικὰ συμπλέγματα, ὡς πρὸς τὰς ἄλλας παρατηρεῖται μεγάλη ποικιλία ἐν ταύτῃ μὲν τῇ διαλέκτῳ τούτων τῶν προθέσεων ἀναλαβουσῶν τὸν πληρέστερον τύπον, ἐκείνων δὲ τὸν ἐλλιπέστερον, ἐν ἄλλῃ δὲ πάλιν διαλέκτῳ ἄλλως κανονισθεισῶν. Ἐν τῇ Ἀττικῇ διαλέκτῳ ἐπεκράτησε μιᾶς μόνης ὁ βραχύτερος τύπος, ὁ τῆς *προτὶ* συσταλείσης εἰς *πρός,* τῶν δὲ λοιπῶν οἱ πληρέστεροι, ὥστε ἐξαιρουμένων τῶν ὀλίγων ὅσα ἐκ τῶν διαλέκτων εἰσεχώρησαν εἰς τὴν συνήθειαν, οἷον *ἄμπωτις, ἄμβων, καμμύω* (ἀπὸ Ἀλέξιδος κέξ.) καὶ τῶν τοῦ Ξενοφῶντος ἐκ τῶν διαλέκτων ὁμοίως παραληφθέντων *ἀμβολάς, ἀμβάτης, ἀγκράτος* καὶ ἄλλων τινῶν ἅτινα εἶπαν οἱ Ἀττικοὶ ποιηταί, ὁ τῶν Ἀθηναίων λόγος παρέχει μόνους τοὺς πληρεστέρους τύπους, ἐντεῦθεν δὲ ἐξελήφθησαν οὗτοι ὡς οἱ μόνοι προσήκοντες τῇ ἐπισήμῳ γλώσσῃ, καὶ τούτου ἕνεκα ἐξεβλήθησαν οἱ ἄλλοι.

Ὅπως τῶν προθέσεων οὕτω συνέβη ἀποκοπὴ καὶ τοῦ τελικοῦ φωνήεντος τῆς δοτικῆς πληθυντικῆς τοῦ ἄρθρου *τοῖσι-ταῖσι- τοῖς ταῖς* (ὅτι καὶ *τῶν* συνῃρέθη ἐκ *τέων τάων,* εἴδομεν ἀνωτέρω σελ. 342), ὅθεν κατὰ μικρὸν μετεδόθη καὶ ἐπὶ τὴν ὁμοίαν πτῶσιν τῶν ὀνομάτων ὁ βραχύτερος οὗτος τύπος εἰς *-οις -αις.* Διὰ ταῦτα παρατηρεῖται ὅτι ἐν τῇ Αἰολικῇ τῆς Λέσβου μόνον τὸ ἄρθρον *τοῖς, ταῖς* ἐξεφέρετο ἄνευ τοῦ *ι,* τὰ δὲ ὀνόματα πάντα καὶ αἱ ἀντωνυμίαι εἰς *-οισι -αισι·* ὁμοίως καὶ ὁ Ὅμ. ὅπου μὲν μεταχειρίζεται τὴν λέξιν μετ' ἀρθρικῆς σημασίας (28κις), λέγει *τοῖς,* ὅπου δὲ μετ' ἀντωνυμικῆς (238κις), *τοῖσι* σχεδὸν ἀνεξαιρέτως.

Ὅπως τὸ *τοῖσι ταῖσι* διὰ τὴν πρόκλισιν ἐγένετο *τοῖς, ταῖς* καὶ κατ' αὐτὰ ἐλέχθη καὶ *ἀνθρώποις, ἄλλοις, ταμίαις* κτλ. ἀντὶ πα-

λαιοτέρων *ἀνθρώποισι, ταμίαισιν,* οὕτως ἡρμηνεύθη καὶ ἡ Θεσσαλ. ἐν. γεν. τῶν δευτεροκλίτων εἰς *-οι* ἀντὶ *-οιο*· πρῶτον δηλ. καὶ ἐπὶ τούτων ἐλέχθη τὸ ἄρθρον *τοῖ* ἀντὶ *τοῖο* καὶ ἔπειτα καὶ τὰ ὀνόματα, *τοῖ Φιλίπποι, τοῖ ταγοῖ* κλπ.

